Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Cato major, sive de senectute

https://hdl.handle.net/1874/379830

20

~~Codd. MSS. Graeci~~
~~n°. 40.~~

Aevum vetus.
Scriptores latini.
N° 8

Kast I
Pl. F N: 20

4 (*Lat. 8*) *Charta. 4° 31 ff. Saec. XVI ineuntis.*

**M. Tullius Cicero**, Cato major sive de senectute, e Latino in Graecum versus a Theod. Gaza.

Ex libris Joh. Sambuci.

**Hs.**
**1 F 20**

Sum Pre manus à Mattischerz
emptus Viennae Austriae
An. 1631.

M. Tullij Ciceronis

Cato Major

seu

de Senectute liber

A Theodoro Gaza Thessalonicensi

è Latino in Græcum

translatus.

# ΜΑΡΚΟΥ. ΤΥΛΛΙΟΥ. ΚΙΚΕΡΩΝΟΣ. ΚΑΤΩΝ. Η. ΠΕΡΙ. ΓΗΡΩΣ.

## ΕΡΜΗΝΕΙΑ. ΘΕΟΔΩΡΟΥ.

Ὦ τίτε εἴκεν ἐγὼ πρόφρων ἴω καὶ ἀρήξω
παύσω τε πόνου φροντίδ' ἀλγεινὴν μελεδῶνας θ' ὧν καὶ
ἧς αὖ τῶς ἐπτοιῶ αἰνῶς καὶ καλαδῆ κατὰ τῆς.
ἥ δ' ἔστ' ἀγμὸς ἐν στήθεσι βαρὺν σ' ἀμφιπορθαίνει
τίνι νῦν γέρα ἀκοὺ ἔπειτ' ἂν ἐμοί τι ποτ' εἴη;
ἔξεστι γάρ τοι κἀμοὶ φάναι ταῦτα πρὸς σέ
ὦ ἀττικέ, ἅπερ ἐκεῖνος ὁ ἀνὴρ πρὸς φλαμίνιον.
ἐπεὶ πράγματι μὲν οὐ πάνυ μεγάλῳ, ἐμπλέως τε
μὲν πίστεως ὢν, εἴρηκε. καίτοι εὖ οἶδα μηδὲν
κατὰ φλαμίνιον σέ γε ὦ ἀττικὲ μεριμνᾶν
νύκτας τε καὶ ἡμέρας ταῦτα. ἔγνων γὰρ τοῦ
τρόπου τὴν μετριότητα καὶ κόσμιον. καὶ σὲ μὴ
μόνον ἐπωνυμίαν ἀθήνηθεν ἀπενηνέχθαι,
ἀλλὰ καὶ φρόνησιν καὶ παιδείαν. καίτοι ὑπο-
πτεύω μέν τοι καὶ σὲ τοῖς αὐτοῖς οἷς τε καὶ ἐ-
μαυτὸν χαλεπωτέροις ἐνοχλεῖσθαι. ὧν ἡ
παραμυθία καὶ μείζων δή τις ἐστὶ καὶ εἰς χρόνον
ἀποκείσθω καιροῦ. νῦν δέ μοι πρὸς σὲ ἀτεχ-

Ex libr Sambuci

γράψαι ἔδοξε γήρως πέρι· τοῦ γὰρ φορτίου τοῦδε
ὅπερ ἐμοὶ κοινόν ἐστι πρὸς σέ, ἤτοι ἐπικειμένου
ἤδη τοῦ γήρως, ἢ καὶ ἐπερχομένου, κουφίσαι δὴ τὸν
καὶ σέ, καὶ ἐμαυτὸν ἀξιῶ. καίτοι οἶδα ὡς σύ γε
φέροντα τοῦτο αὐτὸ καὶ οἴσοντα, ὥσπερ ἅμα μετρίως καὶ τἆλλα
πάντα μετρίως τε καὶ σοφῶς. ἀλλά μοι ἐπειδὴ
βουλομένῳ ἦν περὶ γήρως τι συγγράψαι, σὺ προ-
σεφαίνου ἄξιος δώρου τοιοῦδε, ᾧ ἂν ἑκάτεροι κοινῇ
χρῷτο ἡμῶν ἑκάτερος. ἐμοί γε οὖν ἡ τοῦ τοιούτου
σύνταξις λόγου οὕτω πως καθ' ἡδονὴν ἐγεγόνει,
ὥστε μὴ μόνον τὰς χαλεπότητας τοῦ γήρως ξυμπάσας
ἀπορρύψαι, ἀλλὰ καὶ μαλθακὸν τὸ γῆρας προσα-
περγάσασθαι καὶ ἡδύ. οὐ μήποτε τοίνυν ἱκανῶς πρὸς
ἀξίαν ἐγκωμιάσαι φιλοσοφίαν γένοιτο ἄν, ᾗ γε
ὁ πειθόμενος, οἷός τε διάγειν ἔξω χαλεπῶν τὸν
τοῦ βίου σύμπαντα χρόνον. ἀλλὰ τῶν μὲν ἄλλων
πέρι πολλὰ δὲ εἰρήκαμεν, καὶ αὖθις ἐροῦμεν
πολλάκις. τὸ δὲ νῦν εἶναι, βιβλίον τουτὶ τόσον πέρι
γήρως πεπόμφαμεν. πάντα δὲ τὸν λόγον οὐ Τιθωνῷ
καθάπερ Ἀρίστων ὁ Χῖος περιτεθείκοτες ἐσμέν,
τοῦ μὲν ὁμήρου ὡς ἐν μύθοις ἀξιώματος εἶναι.
ἀλλὰ Μάρκῳ Κάτωνι γέροντι, ἵνα μείζονος ἔχοι
τὸ ἀξίωμα τοσοῦτο ὁ λόγος. πρὸς τοῦτον δὲ δή, Λαι-
λίον καὶ Σκιπίωνα, θαυμάζοντας πεποιήκαμεν
ὅτι ῥᾳδίως αὐτὸς φέροι τὸ γῆρας. ἢ καὶ πάνυ οἷς

αὖ πάλιν τὸ μὲν ἀποκρινόμενον. ὃ δέ γε ἔτι
πολυμαθέστερον δοκεῖ διαλέγεσθαι. καὶ ὡς ἐν
τοῖς ἰδίοις αὐτὸς ἔωθε συγγράμμασι, τοῖς ἑλ-
ληνικοῖς τὸ τοιοῦτον ἀπονέμει λόγοις. περὶ οὗ δὲ ἀλλ
ὡς ὁ δὲ ἐν γήρᾳ τυγχάνει λίαν ἐσπουδακώς. διὰ τῆς
δὲ πλάτωνος ἤδη γέροντος λόγος αὐτοῦ κατὰ τὸν νόσ
πᾶσαν τὴν ἡμετέραν περὶ γήρως δηλώσει διάνοιαν:

## ΣΚΙΠΙΩΝ.

Πολλάκις ὦ μάρκε κάτων θαυμάζειν εἴω-
θα, μετὰ γαΐου λαιλίου τουτουί, τό τε μὲν
τὴν σὴν περὶ τὰ ἄλλα ἐπιφανεστάτην καὶ τελείαν σοφίαν.
τό τε δὲ καὶ μάλιστα τὸ μηδέποτέ σοι ἐπαχθὲς
ὂν τὸ γῆρας αἰσθέσθαι. ὅπερ οἶμαι ὀλίγοις τῶν γερόντων
οὕτως ἐστὶ μισητόν, ὥστε φάσκειν ἔχειν φορτίον
φάσκειν, αἴτνης βαρύτερον. κάτων πρᾶγμα
οὐκ ἔστι χαλεπὸν θαυμάζειν ἐοίκατε ὦ σκιπίων
καὶ λαίλιε. οἷς μὲν γὰρ ἐπικουρία παρ' αὐτοῖς
οὐδεμία πρὸς τὸ ζῆν εὖ τε, καὶ μακαρίως,
τούτοις ἐπαχθής ἐστιν ἡλικία πᾶσα. οἳ δὲ
παρ' ἑαυτῶν πάντα αἰτοῦσι τὰ ἀγαθά, τούτοις
κακὸν οὐδὲν οἷόν τε δοκεῖν ὧν ἂν φύσεως ἀνάγ-
κη ἐπάγῃ, οἷον δὴ καὶ τὸ γῆρας τυγχάνει ὄν τι μά-
λιστα ὄν. οὗ τυχεῖν μὲν εὔχονται πάντες ἄνθρωποι.
κτησάμενοι δέ, τοῦτο πάλιν αὐτὸ αἰτιῶνται.
ἐς τοσοῦτον δὴ ἡ κουφότης ἀστασίᾳ καὶ λήθας καὶ

κακοπαθείας. θᾶττον αὐτὸ φασὶν ἢ ὡς ᾤοντο
ἂν ὑποδύεσθαι. πρῶτον μὲν οὖν τίς αὐτοὺς οἴεσθαι
βιάζεται τὰ ψευδῆ; τί γὰρ θᾶττον νεανίσκοις
τὸ γῆρας, ἢ παισὶ ἡ νεανικὴ ὑποδύεται ἡ-
λικία. ἔπειτα δέ, πῶς ἧσσον αὐτοῖς ἐπαχθὲς
ἔσται τὸ γῆρας, εἰ ἔτος διατελοῖεν ὀκτακοσιοστὸν
ἢ ὀγδοηκοστόν. τὸ γὰρ τοῦ βίου παρεληλυθός,
κἂν μακρὸν, ἐξερρυηκὸς μέντοι ἅπαξ, οὐδενὶ
ἂν ἔτι παραμυθίᾳ γέροντ' εὐήθη καταμειλίσ-
σειν δυνατὸν ἦν. διὸ δὴ εἰ τὴν ἐμὴν σοφίαν φι-
λεῖτε θαυμάζειν ἣ ὄφελον ἦν ἀξία, τῆς τ' ἐμῆς
ὑπολήψεως, τῆς θ' ἡμετέρας ἐπωνυμίας, ἐν
τούτῳ τυγχάνομεν ὄντες σοφοί, ὅτι φύσει
ἡγεμόνι ἀρίστῃ, ἑπόμεθα καθάπερ θεῷ καὶ πει-
θόμεθα ταύτῃ, ὑφ' ἧς οὐκ ἔοικε τῶν ἄλλων
τοῦ βίου μερῶν, εὖ διαγεγραμμένων, τὸ τελευ-
ταῖον δρᾶμα ὥσπερ ὑπὸ ῥαθύμου ποιητοῦ ἠμε-
λῆσθαι. ἀλλὰ γὰρ ὅμως ἀναγκαῖον ἦν καί τι
ἔσχατον εἶναι. καὶ ὥσπερ ἐπὶ τῶν ἀκροδρύων
καὶ τῶν ἐκ γῆς καρπῶν ὡσανεὶ πρέπον τι καὶ
εὐκατάπτωτον ὡραίᾳ πεπάνσει. ὃ δὴ πρᾴως
οἰστέον ἂν εἴη ἀνδρὶ σοφῷ. τί γὰρ ἄλλο τὸ δὴ τὴν
γιγάντων θεομαχεῖν ἐστιν, ἢ τὸ τῇ φύσει ἀμύ-
νασθαι. Λαίλιος. οὐκοῦν ὦ κάτων κεχαρισ-
μένα τ' ἂν ἡμῖν, ἵνα καὶ ὑπὲρ σκιπίωνος

ἀπόσχωμαι, δράσας, ἐγὼ ἐπειδὴ πρὶν ἐλπίζομεν
καὶ μὴν οἱ προθυμούμεθα ἐς γέροντας ἀφίκε-
σθαι, πολὺ πρότερον μάθοιμεν παρὰ σοῦ τί-
σι ποτὲ λόγοις ῥᾷστα φέρειν δυναίμεθα τὴν
βαρύνουσαν αὐτὴν ἡλικίαν. Κάτων.
ποιήσω γε δή, ὦ Λαίλιε. ἄλλως τε καὶ ἡμῶν
ἑκατέρῳ ἐν χάριτι ἔσται ὡς λέγεις. Λαίλιος. ἦ
καλά, ὦ Κάτων, ἡμεῖς γε βουλόμεθα, εἰ μή τι σοι
χαλεπόν, ὥσπερ τινὰ μακρὰν ὁδὸν προεληλυθότι
ἣν καὶ ἡμᾶς ὁμοίως δεήσει πορεύεσθαι, τοῦτο
ἐς ὅπερ ἀφίκου ἰδεῖν, ὁποῖόν τί ἐστι. Κάτων. ποι-
ήσω δὴ ταῦτα, ὦ Λαίλιε, ὡς ἂν οἷός τε γένωμαι.
πολλάκις γάρ τοι καὶ παρέτυχον ὀδυρμοῖς ἀνδρῶν
ἡλικιωτῶν ἐμῶν, ὅμοιον δ᾽ ὁμοίῳ, ᾗ πελάζειν
παλαιὰ παροιμία. οἷς Γάϊος Σαλινάτωρ, οἷς
Σπόριος Ἀλβῖνος, ἄνδρες ὑπατικοὶ ἡμέτεροι
σχεδόν τι ἡλικιῶται, εἰώθασι καταδύρεσθαι· τοτὲ
ὡς τῶν ἡδονῶν στερόμενοι, ὧν ἄνευ οὐδὲν οἴ-
οιντο ζῆν· τοτὲ δὲ ὡς ὑπὸ τούτων ὑπερορώμενοι ἀφ᾽ ὧν
εἰώθεσαν διακονεῖσθαι ἢ θεραπεύεσθαι. οὗτοι
δέ, οὐ τὸ αἴτιον ἐδόκουν ἐμοὶ αἰτιᾶσθαι. εἰ
γὰρ ἦν τοῦτο γήρως αἰτία, κἂν ἐμοὶ ταὐτὸ τοῖς
τούτοις χρῆσθαι συνέβαινεν ἢ τοῖς λοιποῖς πᾶσι
τῶν πρεσβυτέρων, ὧν τὸ γῆρας πολλῶν ἐτῶν,
ἔξω μεμψιμοιρίας οὐκ οἶδα ἐγώ. οἵ γε τὸ τῶν

ἐπιθυμητικῶν ἀπολύεσθαι δεσμῶν οὐ φέρουσι
χαλεπῶς· οὐδέ τι ἀπὸ τῶν σφετέρων ἀποροῦνται·
ἀλλὰ πάντων δὴ τῶν τοιούτων ὀλοφυρμῶν τὸ αἴ-
τιον οὐκ ἐν τῇ ἡλικίᾳ, ἀλλ' ἐν τῷ τρόπῳ ἐστίν· οἱ μὲν
γὰρ κόσμιοι καὶ μὴ δύσκολοι μηδ' ἀπαίδευτοι
γέροντες ἀνεκτοῦ διάγουσι γῆρας· τὸ φορτικὸν
δὲ καὶ ἀπαίδευτον, χαλεπὸν πρᾶγμα πάντα τοῦ
βίου ἐστίν. Λαίλιος ἔχει μὲν ὦ Κάτων ἃ λέγεις,
ἀλλ' ἴσως εἴποι τις ἂν ὡς σοὶ διὰ τὴν οὐσίαν καὶ
ἀξίαν καὶ εὐπορίαν τὴν σήν· ἀνεκτότερον δο-
κεῖ τὸ γῆρας· τὸ δὲ μὴ πολλοῖς ἐθέλοι συμβαί-
νειν. Κάτων ἔστι τοῦτο γέ τι ὦ Λαίλιε· ἀλλ' οὐδαμῶς
πάντα ἐν τούτῳ, ὡς Θεμιστοκλῆς Σεριφίῳ τῷ
πρὸς λοιδορίαν ἀποκρίνασθαι λέγεται· τοῦ μὲν
γὰρ εἰπόντος, ὡς οὐ δι' οἰκείαν δόξαν, ἀλλὰ διὰ τὴν
τῆς πατρίδος εὐδοκιμεῖν, μὰ Δί' ὅς ἔφη, οὔτ' ἂν
ἐγὼ Σερίφιος ὢν ἔνδοξος ἂν ἐτύγχανον, οὔτ'
ἂν σὺ Ἀθηναῖος ὀνομαστός ποτε ἂν ἐγένου. τὸ
δ' ἤδη τὸν αὐτὸν τρόπον ἐστὶ καὶ περὶ γήρως εἰπεῖν.
οὔτε γὰρ ἐν ἀπορίᾳ ἐσχάτῃ, ἐλαφρὸν ἂν εἴη
τὸ γῆρας οὐδὲ σοφῷ γε, οὔτ' ἂν ἐν ἄκρᾳ εὐπο-
ρίᾳ μὴ ἐπαχθὲς, ἀμαθεῖ τε καὶ φαύλῳ. ἐπιδε-
ξιώτατα γὰρ πάντως ὦ Σκιπίων καὶ Λαίλιε
ὅπλα γήρως αἱ τέχναι τε καὶ αἱ ἀσκήσεις ἀρε-
τῶν· αἳ δὴ τῷ καλῶς διαβιοῦν ἐκπονηθεῖσαι,

καρποῖς φέρουσι θαυμασίως πολὺν χρόνον
διαβεβιωκότι· οὐ μόνον τῷ μηδέποτε προ-
λείπειν, μηδὲ ἐν τῷ ἐσχάτῳ χρόνῳ τῆς ἡλικίας,
καίπερ οὐ μέγα τοῦτό γε· ἀλλ᾽ ὅτι καὶ ἡ τοῦ
καλῶς βεβιωμένου βίου σύνεσις· καὶ ἡ τῶν εὖ
πεπραγμένων ἀνάμνησις, ἡδίστη οὖσα τυγ-
χάνει· ἐγὼ γοῦν κοΐντον μάξιμον τὸν Τάραντα
ἀνειληφότα, γέροντα μειράκιον ὢν καθάπερ
τινὰ ἡλικιώτην ἐφίλουν· ἦν γὰρ ἐκείνῳ τῷ ἀν-
δρὶ σεμνότης εὖ μάλα ἐκ φιλοφροσύνης
ἡδυνομένη· οὐδέ τι μετέθηκε τοῦ τρόπου τὸ
γῆρας· καίτοι γ᾽ αὐτὸν θεραπεύειν ἠρξάμην· πρεσ-
βύτην μὲν κομιδῆ μήπω ὄντα, ἡλικίᾳ γε μὴν
ἤδη προβεβηκότα· ἐνιαυτῷ γὰρ ὕστερον γενέ-
σεως τῆς ἐμῆς, ὕπατος ἀπεδείχθη τὸ πρῶτον. ὕπατος
σὺν αὐτῷ δὲ τὸ δεύτερον ὑπατεύοντι νεαν-
ίσκος ὢν ἐγώ, στρατιώτης ἐς Καπύην ἀπῆλθον.
ἔτει δὲ πέμπτον ὕστερον, ταμίας ἐς Τάραντα,
εἶτα ἀστυνόμος· καὶ μετὰ τετραετίαν ἔπαρχος
ἀπεδείχθην· ἣν ἦρξα ἀρχὴν τουδιτάνου καὶ
κεθήγου ὑπατευόντων· ἡνίκα κεῖνος γέρων
κομιδῆ ὤν, εἰσηγητὴς κινκίου γέγονε νόμου
περὶ δωρεῶν καὶ χαρίτων· οὗτος δὲ καὶ πολεμῶν
πρεσβύτης ὤν, ἐμφανῶς ἤδη ὥς τις τῶν νεω-
τέρων ἐπολέμει. καὶ ἀννίβαν σκιρτῶντα

νεανικῶς διεμάλασσεν ἀνεχόμενος. οὗ πέρι
σαφῶς καλῶς ὁ οἰκεῖος ἡμῖν ἔννιος λέγει.
,, πολλὰ δὲ ἀνθρώπων εἷς χρήματα πάντα σαώσε.
,, τῷ γὰρ πρὸ θρύλλων ἦν ἡ σωτηρία ἕσπε.
,, τοῦ δὴ ἡ κλέα νῦν ἀνὰ λαοὺς πάμμεγα λάμπει.
τάραντα δὲ, ὅσῃ μὲν ἐγρηγορέσει· οἵᾳ δὲ εὐβου-
λίᾳ χρησάμενος ἀνέλαβε. ὅτε δὴ παρόντος
κἀμοῦ, σαλινάτωρι ὃς τῆς πόλεως ἑαλωκυίας
ἐπὶ τὴν ἄκραν κατέφυγε σεμνυνομένῳ, καὶ
λέγοντι ἐμοῦ συμπράξαντος ὦ κύιντε φά-
βιε τάραντα ἀνέλαβες, ἀληθέστατα ἔφη γε-
λάσας· γὰρ σὺ μὴ ἀπέβαλες, οὐκ ἂν ἔγωγε ἀ-
νέλαβον. οὐδὲ μὴν ὁ ἐν ὅπλοις κρείττων
ἢ ἐν τῇ τηβέννῳ δοκεῖ. ὅς γε ὑπατεύων τὸ δεύ-
τερον σπορίου καρβιλίου τοῦ συνάρχοντος
ἄγοντος ἡσυχίαν γαΐῳ φλαμινίῳ δημαρχοῦν-
τι καθ' ὅσον οἷός τε ἦν ἐνέστη, διαιροῦντι κατ'
ἄνδρα τὴν πικηνίδα καὶ γαλατικὴν χώραν
ἐναντία τῷ τῆς βουλῆς ἀξιώματι. μάντις
ὢν τῶν ἐπ' οἰωνοῖς, θαρρῶν ἔφασκεν ὡς ὅσα
μὲν ἐπὶ σωτηρίᾳ τῆς πολιτείας πράσσοιτο, ἀρί-
στοις οἰωνοῖς ταῦτα πράσσοιτο. ὅσα δὲ ἐναντία
τῇ πολιτείᾳ φέροιτο, καὶ τοῖς οἰωνοῖς ὅτι ταῦτα
φέροιτο ἐναντία. πολλὰ μὲν τοίνυν τῶν καλ-
προτάτων ἐν τῷ ἀνδρὶ τούτῳ κατανενόηκα.

θαυμαστότερον δὲ οὐδέν, ἢ ὅπως τὴν τελευ-
τὴν ἤνεγκε μάρκου τοῦ υἱέος, ἀνδρὸς τῶν
ἐνδόξων τε καὶ ὑπατικῶν· δι' ἃ χρεὼς δὲ ἡμῖν
τὸ ἐγκώμιον ὑπὲρ ἀναγινώσκοντες, τίνα οὐχ ὑπερ-
φρονοῦμεν τῶν ἐν βίβλῳ φιλοσόφων; οὐδ' ἄρα
κεῖνός γε ἐν τῷ ἐμφανεῖ μόνον, καὶ τοῖς ὀφθαλ-
μοῖς τῶν πολιτῶν μέγας. ἀλλὰ καὶ ἔνδοθέν τε καὶ
οἴκοι βελτίων ἦν. οἷος μὲν γὰρ λόγος αὐτοῦ. οἷα
δὲ παραγγέλματα; ὅση τε γνῶσις πραγμάτων
ἀρχαίων; οἵα δὲ νομίμου καὶ μαντικῆς ἐπι-
στήμη; πολλοὶ ἔτ' ἐν αὐτῷ λόγοι ἢ ὅσοι ὡς ἐν
ἀνδρὶ ῥωμαίῳ· καὶ ταύτας διὰ μνήμης
οὐ μόνον τοῖς οἰκείοις· ἀλλὰ καὶ τοῖς ἀλλο-
φύλοις ἦγε πολεμίοις· οὐ τῶν λόγων οὕτως
ἐγὼ πρὸς ἐπιθυμίαν τέως ἀπέλαβον· ὥσπερ
δὲ πάλαι προμαντευόμην τὸ νῦν ἀποβεβη-
κὸς τοῦτο, μηκέτι ἂν εἶναι μηδένα κἂν δή γε
ἀπεσβηκότος τούτου μανθάνειν οἷος τ' ἂν εἴη,
πρὸς δὲ τὰ αὐθ' οὕτως ὑπὲρ μαξίμου πολλά; ὅτι.
ὁρᾶτε δήπου ὡς οὐ θεμιτὸν φάναι τὸ τοιοῦτο
γῆρας ἀθλίου γεγονέναι. ἀντίθεσις.

Ἀλλ' οὐ πάντως σκεπτέον εἰ μάξιμος εἶναι δίκαιος —
ὥς τε πολεμίοις σφίσι καταπεπολεμημένοις,
ὥστ' ἐπινικίους πομπὰς ὑπέρ ποτε ἐνθυμεῖσθαι.

λύσις

Ἀλλὰ μὴν ἐστὶ καὶ βίου καθαρῶς καὶ ἡσύχως

καὶ χαριέντως δικνισμένου, γήρως ἐλαφροῦ
καὶ ἀβαρέστου. οἷον τὸ πλάτωνος πυνθανόμεθα.
ὃς πρώτῳ καὶ ὀγδοηκοστῷ ἐτελεύτησεν ἔτει. οἷον
τὸ ἰσοκράτους, ὃν τετάρτῳ καὶ ἐνενηκοστῷ ἔτει
φασὶ γεγραφέναι τὸν πανηγυρικὸν ἐπιγραφόμενον.
πέντε δὲ μετὰ ταῦτα ἔτη ἐπιβιῶναι. οὗ ὁ δι-
δάσκαλος γοργίας ὁ λεοντῖνος ἔτη ἑπτὰ καὶ
ἑκατὸν διετέλεσεν. οὐδέ τι τῆς αὐτοῦ σπουδῆς
καὶ τοῦ ἔργου ἔληξεν οὐδεπώποτε. ὃς καὶ ἐρω-
τώμενος τί ποτε ἐπὶ τοσοῦτον χρονίζειν ἐν τῷ
βίῳ ἐθέλοι. οὐδὲν ἔφη ἔχω αἰτιᾶσθαι τὸ γῆρας.
κάλλιστα τῇ ἀποκρίσει καὶ ἀνδρὸς ἀξία σο-
φοῦ. τὰς γὰρ σφετέρας κακίας οἱ ἀμαθεῖς, καὶ
τὰς σφῶν αἰτίας, ἐπὶ τὸ γῆρας μετάγουσιν.
οἷόν τι αὐτὸς οὐκ ἐποίει, οὗ μνείαν πεποίηται
ἔννιος.
" ἀλλ' ἠΰτε ἵππος τάλκιμος ὃς πύματον διὰ χῶρον
" ζηνὸς ὀλύμπια πρὸς πολλάκις ἤρετ' ἄεθλα,
" νῦν κρατερῷ δεδμημένος μάλα γήραϊ εὕδει.
ἵππου δὲ ἰσχυροῦ καὶ ὀλυμπιονίκου γήρα τὸ
ἑαυτοῦ παραβάλλει. τούτου δὲ καὶ ὑμεῖς μεμνῆ-
σθαι εὖ ἔχοιτε ἄν, ἐνάτῳ γὰρ καὶ δεκάτῳ ἔτει
μετὰ τὴν ἑαυτοῦ τελευτὴν, τίτος φλαμίνιος
καὶ μάρκος ἀτίλιος ὕπατοι ἀπεδείχθησαν,
αὐτὸς δὲ ἐπὶ σκιπίωνος ὑπάτου, καὶ φιλίππ

τὸ δεύτερον ὑπατεύοντος ἐτελεύτησεν, ἐπειδὴ ἐγὼ πέντε καὶ ἑξήκοντα ἔτη γεγονὼς, ἀνεφώνησα καὶ εὐτόνως τὸν Βοκωνίου νόμον εἰσηγησάμην. ἑβδομηκοντούτης δὲ γενόμενος, ἐπὶ τοσοῦτο γὰρ βεβίωκεν Ἔννιος, οὕτως ἔφερε δύο τὰ μέγιστα νομιζόμενα φορτία, πενίαν καὶ γῆρας, ὥστε σχεδόν τι ἐπὶ τούτοις καὶ ἡδόμενος φαίνεσθαι. ὅσα γε γάρ τοι σκοπούμενος ἐγὼ καὶ περιβάλλων τῷ νῷ, εὑρίσκω τέτταρας οὔσας μάλιστα αἰτίας δι᾽ ἃς ἂν δόξειεν ἄθλιον τὸ γῆρας· μίαν μὲν ὅτι τῶν πρακτέων ἀφίστησιν. ἑτέραν δ᾽ ὅτι ἀσθενὲς ἀπεργάζεται τὸ σῶμα. τρίτην δ᾽ ὅτι πασῶν σχεδόν τι ἀποστερεῖ τῶν ἡδονῶν. τετάρτην δ᾽ ὅτι οὐ πόρρω θανάτου ἐστί. τούτων δὲ δὴ, εἰ δοκεῖ, τῶν αἰτιῶν ὁπόση ἑκάστη, καὶ ὅπως εὔλογός ἐστι, θεασώμεθα.

Τῶν πρακτέων ἀπάγει τὸ γῆρας. τῶν ποίων; ἢ τῶν ὅσα νεότητι πράσσεται καὶ ἰσχύϊ. ἆρ᾽ οὖν οὐδὲν χρῆμα πρεσβυτικόν ἐστιν ὅπερ ἂν καὶ τοῖς σώμασιν ἀσθενέσι, ψυχῇ μέντοι ἐρρωμένοις ὑπεργασθείη; οὐδὲν ἄρα οἱ περὶ Κόιντον Μάξιμον ἔπρασσον, οὐδὲν οἱ περὶ Λεύκιον Παῦλον, τὸν σὸν μὲν πατέρα, ὦ Σκιπίων, κηδεστὴν δὲ τοῦ ἐμοῦ υἱέος ἀνδρὸς ἀρίστου. οἱ τ᾽ ἄλλοι γέροντες Φαβρίκιοι Κούριοι Κορογκάνιοι, ὅτι τῆς πολιτείας

πρῶτον.

εὐβουλίᾳ καὶ ἀξιώματι προσηκούσαν, οὐ-
δὲν ἔπραττον. ἀλλὰ μὴν τῷ ἀππίου κλαυδίου
γήρᾳ προσῆν καὶ τυφλὸν εἶναι ἀλλ' ὅμως ὁμο-
ψήφω τῆς συγκλήτου εἰς εἰρήνην τῷ πύρρῳ ἀ-
ποκλινούσης καὶ σπένδεσθαι βουλομένης
οὐκ ἀπώκνησε φάναι ἅπερ ἔννιος ἔπεσι διε-
ξέρχεται φράζων.

ἔννιος

» ποῖ φρένες ὑμῶν αἱ πρὶν ἀσεμφῶς πρόσθεν ἵσταντο
» αἴψα γε δὴ ταύτην ῥαῖφεν κατάταρπον
» καὶ τἄλλα λίαν σεμνῶς. ἀλλὰ μὲν οὖν
ἡμῖν καὶ τὰ ἔπη. σώζεται γε μὴν ἔτι καὶ ὁ
λόγος αὐτοῦ ἀππίου καὶ ταῦτ' ἔπραξεν ἐ-
κεῖνος ἔτει ἑβδόμῳ καὶ δεκάτῳ. ἀπὸ τῆς
δευτέρας ὑπατείας. ἐπειδὴ μεταξὺ ταῖν
δυοῖν ὑπατείαιν ἔτη διαγένοιτο δέκα. ἢ
τιμητὴς πρὸ τῆς προτέρας ὑπατείας ἀποδειχ-
θείη. ὅθεν δὴ καὶ ἔστι μαθεῖν ὡς πάντως πρεσ-
βύτης αὐτὸς ἦν ἐπὶ τοῦ πρὸς πύρρον πολέ-
μου, ταυτί μέντοι παρὰ τῶν πατέρων αὐ-
τῶν τοῦτο παρειλήφαμεν. τοῖς γάρ τοι, οὐδὲν ἐπι-
φρονοῦσιν οἱ τὸ γῆρας ἀμφὶ τὰ πρακτέα
μὴ φάσκοντες διαρκεῖν, ὅμοιοί τε τυγ-
χάνουσιν ὄντες, ὥσπερ εἴ τις τὸν κυβερνήτην
μηδὲν πράττειν ἐν τῷ πλῷ λέγοι, ἐπειδὴ
τῶν μὲν ἄλλων οἱ μὲν, τοὺς ἱστοὺς ἀναρριχῶνται

οἱ δὲ διὰ τῶν καταστρωμάτων τρέχωσιν.
ἕτεροι δέ τινες ἀνιμῶνται τὸν ἄντλον. ὁ δὲ
τὸ πηδάλιον κατέχων ἐπὶ πρύμνης καθ᾽ ἡσυ-
χίαν καθέζεται μηδὲν ποιῶν ὧν οἱ νέοι. ἀλλὰ
πολὺ δὴ μᾶλλον τὸ κράτιστον ποιεῖ. οὐ γὰρ ἰσχύϊ
ἢ τάχει, ἢ ὀξύτητι σωμάτων κατασκευά-
ζεται. ἀλλ᾽ εὐβουλίᾳ καὶ γνώμῃ καὶ ἀξιώ-
ματι. ὧν τὸ γῆρας οὐχ ὅπως ἐστὶν ἐνδεές. ἀλ-
λὰ καὶ ἐπιδιδόναι ἐς ταῦτα πέφυκεν, εἰ μὴ
ἴσως ἐγὼ ὃς καὶ στρατιώτης καὶ χιλίαρχος.
καὶ πρεσβευτὴς καὶ ὕπατος πολλαῖς ἰδέαις
πολέμων ὡμίληκα. νῦν παντὸς ἔργου ἡμῖν
πεπαῦσθαι δοκῶ ὅτε οὐ πολέμων ἔτι πο-
λεμοῖς, ἀλλὰ γὰρ ἅττα δεῖ πρᾶξαι τῇ συγ-
κλήτῳ προσγράφω. καὶ ὅπως τῇ καρχηδό-
νι κακῶς ἤδη ἐκ πολλοῦ διανοουμένῃ, ἐ-
ποίσομεν πόλεμον, πολὺ πρὸ τοῦ ἀπαγγέλω.
δι᾽ ἣν ἔγωγε οὐ παύσομαι δεδιὼς πρὶν τὸ
σύμπαν ἐκκενωμένην αἰσθέσθαι. ὃ δὴ τρό-
παιον σοὶ ταμιεύσαιντο οἱ ἀθάνατοι θεοὶ ὦ σκι-
πίων. ὡς ἂν τὰ λείψανα μετὰ διώξῃς τοῦ πά-
που. οὗ τῇ μὲν τελευτῇ τρίτον καὶ τριακοστὸν,
ἔτος τουτί. τὴν μνήμην δὲ ἐκείνου τἀνδρὸς ἅ-
πας ὁ ἐπιὼν διαδέξεται χρόνος. ἐνιαυτῷ γὰρ
πρὸ τῆς ἐμῆς τιμητείας τὸν βίον κατέστρεψεν,

ἐννέα ἔτεσι μετὰ τὴν ἐμὴν ὑπατείαν, ἐπειδὴ
ὕπατος αὖθις ἐμοῦ ὑπατεύοντος ἀνερρήθη.
μὴ οὖν ἆρα τῷ, εἰ εἰς ἔτος ἑκατοστὸν διεβίω, τοῦ
τοῦ γήρως ἂν μετεμέλησεν; μὰ Δία· οὐ γὰρ
ἐν δρομαῖς ἢ πηδήμασιν οὐδὲ πόρρωθεν
ἀκοντίοις ἢ ἐγγύθεν μαχαίραις χρώμενος
ἂν διετέλει; ἀλλὰ λόγῳ καὶ εὐβουλίᾳ καὶ
γνώμῃ, ἅπερ εἰ μὴ ἐν τοῖς γέρουσιν ἦν, οὐκ ἂν τὴν
μεγάλην βουλὴν γερουσίαν ἐκάλεσαν οἱ ἡμέ-
τεροι πρόγονοι. καὶ παρὰ Λακεδαιμονίοις
δὲ οἱ τὴν ὑψηλοτάτην τῶν ἀρχῶν διοικοῦντες,
ὥσπερ εἰσὶ τοῦτο καὶ ὀνομάζονται, γέροντες. ὥστ' εἰ ἀνα-
γνῶναι ἢ πυθέσθαι ἐθέλοιτε τὰς ἔξωθεν με-
γίστας τῶν πολιτειῶν ὑπὸ νέων πταισάσας, παρὰ
γερόντων ἀνορθωθείσας καὶ ἀποκαταστᾶσας
εὕροιτ' ἄν. ἀλλὰ πόθεν ὅπως ὤλετο τάχιστα καθ-
ὑμῖν τὰ τῆς πολιτείας, τηλικαῦτα πράγμα-
τα. οὕτω γὰρ ἀνακρίνονται ἐν τῇ Νεβίου τοῦ
ποιητοῦ παιδιᾷ. ἀλλά τε οὖν ἀποκρίνονται,
πάντα δὴ εἰς τὰ πρῶτα· προήεσαν ταχεῖς ῥή-
τορες νέοι, μωρὰ καὶ εὐήθη, ἡλικίας μὲν
ἀκμαζούσης θρασύτητα δηλονότι εἶναι, γή-
ρως δὲ φρόνησιν, ἀλλὰ τὴν γε μνήμην ἐλατ-
τοῦσθαι συμβαίνει: πείθομαι, ἢν μὴ ταύτην
ἀσκῇς, ἢ εἰ φύσει βραδύτερος ὢν τυγχάνῃς.

Θεμιστοκλῆς μέντοι ξυμπάντων τῶν πολιτῶν
ἐγίνωσκε τὰ ὀνόματα. μῶν οὖν τι αὐτὸν οἴ-
εσθε πόρρω γενόμενον ἡλικίας τὸν οὕτω ἀρι-
στείδην, λυσίμαχον ἐωθέναι προσαγορεύειν;
οἶδ᾿ ἔγωγε μὴ μόνον τοὺς ὄντας τούτους. ἀλλὰ καὶ
τοὺς πατέρας καὶ τοὺς πάππους αὐτῶν. οὐδέ-
τι τὰ μνήματα ἀναγινώσκων δέδοικα, ὅ
φασι, μὴ ἀπολέσω τὴν μνήμην, ἐν τούτων
γάρ τοι αὐτῶν ἀναγινωσκομένων, οὐ μὴν ἀλ-
λ᾿ οὐδέπω τινὰ τῶν γερόντων ἐπιλαθόμενον
ὅπου θείη τὸν θησαυρὸν κατορωρυχὼς ἤκ-
ουσα. μέμνηνται πάντων ὧν ἐπιμέλειαν
ποιοῦνται, οἷον ἐξεγγυήσεων τε συγγραφῶν
καὶ συναλλαγῶν, καὶ ὅστις μὲν αὐτοῖς, ὅτῳ
δ᾿ αὐτοὶ ὀφείλουσι. τί δὲ οἱ τῶν νομίμων ἐξη-
γηταί. τί δαὶ ἀρχιερεῖς. τί δαὶ οἰωνοσκόποι.
τί δαὶ φιλόσοφοι γέροντες. ὡς πλείστων μνημονι-
κῶς ἔχουσι. παραμένει γὰρ ἀγχίνοια καὶ γέρου-
σιν, ἢν μόνον γε παραμένῃ σπουδὴ καὶ φι-
λοπονία. καὶ ταῦτα οὐ μόνον ἐπ᾿ ἀνδράσι
τῶν λαμπρῶν τε καὶ ἐπιτίμων. ἀλλὰ καὶ
τῷ ἰδιώτῃ τε καὶ ἡσυχίῳ βίῳ. Σοφοκλῆς
μὲν οὖν ἐν γήρᾳ βαθεῖ τραγῳδίας ἐποίει. ὃς
καὶ διὰ σπουδὴν τῶν τοιούτων ἀμελῶς ἔ-
χειν τῶν κατὰ τὴν οἰκίαν δοκῶν, ἐς δίκας ἦχθη ὑπὸ ... ιον

ὑπὸ τῶν υἱέων ἐκλήθη ἵν' ὥσπερ ἔθος ἡμῖν ἀπα-
γορεύειν τὰ ὑπάρχοντα παραδοῦσι κακῶς τὰ περὶ
τὴν οὐσίαν διοικουμένοις. ὡς ἐκεῖνον δῆθεν τινὰ
τῶν ἀφρόνων ἀποστήσωσι τῶν οἰκείων χρη-
μάτων οἱ δικασταί. τότε δ' ἐκεῖνον τὸν μῦθον
αὐτοῦ ὃν διὰ χειρὸς εἶχε καὶ ὑπογυίως τότε
γέγραφεν. οἰδίπουν τὸν ἐν τῷ κολωνῷ, παρα-
ναγνῶναι τοῖς δικασταῖς λέγεται καὶ ἐρέσθαι
εἴ τινι ἐκεῖνο τὸ ποίημα ἀφραίνοντος εἶναι δοκοίη.
τοῦ δὲ παραναγνωσμένου ψήφῳ τῶν δικα-
στῶν ἀφεθῆναι. μὴ οὖν τοῦτον δέ; μὴ ἡσίοδον.
σιμωνίδην. στησίχορον. μὴ πρότερον εἶπον
ἰσοκράτην καὶ γοργίαν; μὴ ὅμηρον. μὴ
πυθαγόραν τὸν ἡγεμόνα τῶν φιλοσόφων.
μὴ δημόκριτον, μὴ πλάτωνα. μὴ ξενο-
κράτη, μὴ ζήνωνα ὑπὸ γήρως καὶ κλεάνθην.
ἢ οὐκ ἐν ῥώμῃ ὑμεῖς ἴδετε διογένην τὸν
στωϊκὸν ἄφωνον γενέσθαι τὸ γῆρας ὑπ' αὐτῶν
περὶ τὰς οἰκείας σπουδάς; ἢ πᾶσι τούτοις
ἡ τῶν αὐτῶν σπουδῶν ἐνδελέχεια ἐξ ἴσου
τῷ βίῳ διεγεγόνει. ἀλλά γε τὰς ἰδίας ταύτας
ἔχωμεν σπουδάς. ἔχω γάρ τοι ὀνομάσαι
ῥωμαίους ἐκ σαβίνης ἀγροικούς, γείτονας
ἐμοὶ καὶ συνήθεις. ὧν ἀπ' αὐτῶν οὐδέποτε
σχεδόν τι ἔργα ἄττα τῶν μειζόνων γίγνεται.

ἀμφὶ τοῦ ἀγροῦ. οὐ γὰρ στερομένων, οὐδὲ
συλλεγομένων, οὐδὲ ἀποτιθεμένων τῶν καρ-
πῶν. καὶ ἐπὶ τῶν ἄλλων δέ γε τοῦθ' ἧττον ἢ
θαυμαστόν. γερόντων γὰρ οὕτως οὐδεὶς ὥστε μὴ
οἴεσθαι ἐνιαυτὸν ἂν ἐπιζῆσαι. ἀλλ' οἱ αὐτοὶ
περὶ ἐκεῖνα πονοῦσιν ἅπερ οὐδὲν τὸ παράπαν
πρὸς ἑαυτοὺς φέροντα ἴσασι. δένδρα γὰρ φυ-
τεύει, θρέψει ἅττε αἰῶνα ἕτερον γ' ὀνήσει. στά-
τιος ὁ ἡμέτερος ἔφη ἐν συνεφήβοις. οὐδέ τι
ἀμφιβάλλω ὡς ὁ γηπόνος καίπερ ὢν γέρων, ἀπο-
κρίνεται τῷ τίνι φυτεύει ἐρωτῶντι, θεοῖς
ἀθανάτοις, οἵ με οὐχ ὅτι λαβεῖν ταῦτα παρὰ
τῶν προγόνων ἠξίωσαν, ἀλλὰ καὶ τοῖς ἔπειτα
παραδοῦναι. ὀρθότερον οὖν Καικίλιος περὶ τοῦ
προορωμένου γέροντος τὰ ἐς ἕτερον αἰῶνα.
ἢ ὁ αὐτὸς ἐκεῖνα. νὴ Δία γῆρας ἔφη κἂν ἄλλο
μηδὲν ἐπιφέρῃς ἐρχόμενον; ἓν δὴ τοῦτο
που κακῶν ἅλις. ὡς πολλὰ ἀνάγκη τῶν ἀβουλήτων
ὁρᾶν. ὅτῳ ξυνέβη μακρὸν διαζῆσαι χρόνον.
ἴσως δὲ καὶ πολλὰ ἅ γε βούλεται. καὶ δὴ καὶ
νεότης ἐς ἃ μὴ βούλεται ἐμπίπτει πολλάκις.
κἀκεῖνο δὲ φαυλότερον ὁ αὐτὸς λέγει. κακο-
δαιμονέστατον τοῦτ' οἴομαι γήρως. μισητὸν
αὐτὸν ἐννοεῖν ὄντα ἑτέροις κατ' ἐκεῖνο τοῦ βίου.
ἡδέως γε μᾶλλον ἢ μισητόν. ὥσπερ γὰρ τοῖς νέ-

φυΐα κοσμουμένοις τῶν μειρακίων οἳ ὥσπερ
τῶν γερόντων ἐφήδονται, τό τε γῆρας τούτοις
ἐστὶν ἐλαφρότερον, ὅσοι ἐκ νέας δὴ φιλοῦσι
καὶ θεραπεύουσι. οὕτω καὶ τὰ μειράκια τοῖς
τῶν γερόντων πράγμασι χαίρει· οἷς ἐπὶ
τὰς σπουδὰς τῶν ἀρετῶν προσβιβάζεται.
οὐδέ τι ἧττον ὑμῖν ἐμαυτῷ, ἢ ὑμᾶς ἐμοὶ ἡ-
δέως αἰσθάνομαι οὕτως. ἀλλὰ γὰρ ἤδη ὁρᾶτε
ὡς τὸ γῆρας οὐχ ὅπως χαλαροὺς, καὶ ἀργοὺς,
ἀλλὰ καὶ πολυεργούς δή· καί τι ἀεὶ ἐργαζομένους τε
καὶ μηχανώμενον δηλονότι τοιοῦτο οἷα περ
ἑκάστῳ σπουδὴ τοῦ πρὸ τοῦ βίου ὑπῆρξε.
Τίδοι οἳ καὶ διδάσκονταί τι καθάπερ Σόλωνα
ἐκλαμπρυνόμενον ἔπεσιν ὁρῶμεν ὃς γηράσ-
κειν καθυμνεῖ διδασκόμενός τι φησίν, οἷον τι
κἀγὼ πεποίηκα· ὃς γερόντων γράμματα ἔμα-
θον ἐμμικικὰ, ἃ δὴ οὕτω Σωκράτη παθεῖν ἐνθυμεῖ,
ὥσπερ ἐγχρόνιον δίψος ἐκπλῦσαι ἐπιθυμῶν,
ἵνα γνώριμα μοι γένοιτο αὐτὰ ταῦτα. οἷς
παιδεύμασι νῦν προσχρώμενον με ὁρᾶτε.
οἷον δὴ καὶ Σωκράτη δράσαντα περὶ χορδὰς
πυνθανόμενος ἐβουλόμην μὲν ἔγωγε ἂν κἀ-
κεῖνο. ἐπεμελοῦντο γάρ τοι καὶ χορδῶν μα-
θήματος οἱ ἀρχαῖοι. τὰ περὶ τοὺς λόγους δ' ὡς
ἀληθῶς δίεπον ἐκεῖ μὲν.·/ Οὐδέ τι νῦν

ἐπιποθῶ νεανίσκου ἰσχὺν, ἕτερος τὸ νῦν οὗτο-
σί τόπος ἐκείνων ἐς τὸ γῆρας οὐδέν τι μᾶλλον
ἢ νεανίσκος ὢν ἀλκὴν ἐλέφαντος ἐπόθουν
ἢ ταύρου. χρῆσθαι γὰρ τῷ παρόντι ἀεὶ πρέπει.
καὶ ὅτι ἂν πράσσῃς πράττειν κατὰ δύναμιν. τίς
γὰρ ἂν γένοιτο εὖ καταφρονητότερα φωνὴ
τῆς Μίλωνος τοῦ Κροτωνιάτου, ὃς γέρων ὢν
ἤδη τοῖς ἀθληταῖς γυμναζομένοις ἐν τῷ
σταδίῳ θεώμενος, ἐπιβλέψαι ἐς τοὺς αὑτοῦ
βραχίονας καὶ φάναι δακρύσαντα. ἀλλ' οὗτοι
γε ἤδη τεθνήκασι. μάλιστα οὐχ οὗτοι τοσοῦτον
ὅσον σὺ φλύαρε. οὐ γὰρ σὺ διὰ σεαυτοῦ ἀ-
πεδείχθης σεμνότερος οὐδεπώποτε. ἀλλὰ
διὰ τὰ σῶ τοῦ πλευρά τε καὶ τοὺς βραχίονας.
οὐδὲν ὅμοιον ὁ περὶ Σέξτον Αἰμύλιον τοιοῦτος.
οὐδὲν ἔτεσι πρόσθεν πολλοῖς, ὁ περὶ Τίτον
Κορυγκάνιον, οὐδὲν ἄρτι ὁ περὶ Πόπλιον
Κράσσον ὑφ' ὧν τὰ νόμιμα τοῖς πολίταις
ἐγράφετο. οἷς μέχρι ἐσχάτης ἀναπνοῆς
ἐπιδέδωκε τὸ φρονεῖν· ἀλλὰ δέος μὴ ὁ
ῥήτωρ γήρᾳ παραχαλασθὲν ᾖ. καὶ γὰρ
αὐτοῦ τὸ ἐπιτήδευμα οὐ μόνον ἀγχινοίας
ἀλλὰ καὶ πλευρῶν εὐτονίας. καὶ νὴ δία εὔη-
χον φωνῆς. παντάπασί γε τῆς φωνῆς
ἐμμελὲς ἐκεῖνον ἔτι καὶ τῷ γήρᾳ οὐκ οἶδ'

ὅπως ἐκλάμπει. ὅπερ ἔγωγε ἔτι καὶ ὅπερ
νῦν οὐκ ἀπόλεσα, καὶ ταῦτα ἐπιεικῶς
ὁρᾶτε. ἀλλὰ μὴν εὐπρεπής ἐστι ὁ τοῦ γέροντος
λόγος καὶ ἥσυχος καὶ ἀνειμένος. καὶ ὡς τὰ
πολλὰ αὐτὸς ἀκρόασιν ἑαυτῷ ἐξεργάζεται
ὁ τοῦ εὐφραδοῦς γέροντος πρᾶός τε καὶ
εὐσύνθετος λόγος, οὐ δὴ κἂν εἰ αὐτός τις
ἐφικνεῖσθαι μὴ οἷός τ' εἴη, ἐπιστέλλειν γε
μὴν σκιπίωνι καὶ λαιλίῳ δύναιτο ἄν. τί
γὰρ ἥδιον γήρως σπουδαῖς βρίθοντος ἐκ
νεότητος. ἢ οὐδὲ ταύτην γοῦν τὴν ἰσχὺν κα-
ταλείπομεν γήρᾳ. διδάσκειν. παιδεύειν.
ἄγειν τε ἅπαν καθῆκον τοῖς νέοις. οὗ δὴ
ἔργου τί ποτ' ἂν περιφανέστερον γένοιτο. ἐμοὶ
τοίνυν καὶ οἱ περὶ γναῖον καὶ πόπλιον τῶν
σκιπιώνων. καὶ οἱ σοὶ δύο πάπποι λεύκιος
αἰμίλιος καὶ πόπλιος ἀφρικανός, εὐτυχεῖς
οὗτοι τῆς τῶν εὖ γεγονότων ἠιθέων ὁμι-
λίας ἔδοξαν. μηδέ τινες ὧν οἱ διδάσκαλοι
τεχνῶν ἀγαθῶν, οὓς μακαρίους οὐ νομι-
στέον, κἂν τὰ περὶ ἰσχὺν γεγηρακότα καὶ
ἐκλελοιπότα γε ᾖ. καίτοι καὶ ἡ τῆς ἰσχύος
αὐτή γε ἐπίλειψις, κακίᾳ νεότητος πλεο-
νάκις ἢ γήρως συμβαίνει. νεότης γὰρ φιλή-
δονος καὶ ἀκόλαστος σῶμα διακενὸν φέρουσα,

τῷ γήρᾳ παρέδωκε. Κῦρος μὲν οὖν παρὰ
Ξενοφῶντι τῷ λόγῳ, ὃν διελήλυθεν ἀπο-
θνήσκων γέρων ὢν παντελῶς, οὔ φησιν
ἐπαισθέσθαι ποτὲ ἑαυτοῦ γῆρας ἀσθενέ-
στερον γενόμενον τῆς νεότητος. ἐγὼ δὲ Λ.
Λευκίου Μετέλλου μέμνημαι ἰδὼν ἔτι παῖς,
ὃς τέτρασιν ἔτεσι μετὰ τὴν ἑτέραν ὑπατείαν
ἀρχιερεὺς ἀποδειχθεὶς μέγιστος, ἔτη δύο καὶ
εἴκοσι προύστη τῆς ἀρχιερωσύνης· οὕτω πάν-
υ ἔχοντα τὴν ἰσχὺν τοῦ ἐσχάτου χρόνου
τῆς ἡλικίας, ὡς ἥκιστα νεότητά γε ἐπιζη-
τεῖν. περὶ ἐμαυτοῦ γὰρ λέγειν ἴσως οὐκ ἀναγ-
καῖον ἦν καὶ πρεσβυτικὸν τοῦτό γε ἣ καὶ
τῇ ἡλικίᾳ ἡμῶν συγκεχωρημένον. ὁρᾶ-
τε γὰρ καὶ ὡς παρ' Ὁμήρῳ Νέστωρ τὴν ἑαυτοῦ
ἰσχὺν πολλάκις ἀναμιμνήσκει· τρίτην γὰρ ἤδη γενε-
ὰν ἀνθρώπων ἐβίου. οὐδὲ ἐφοβεῖτο μὴ τ'
ἀληθῆ περὶ ἑαυτοῦ κηρύττων, ἤτοι λίαν
ἀλαζὼν ἢ λάλος δοκῇ. καὶ γὰρ ὡς Ὅμηρος
ἔφη· τοῦ καὶ ἀπὸ γλώττης μέλιτος γλυκίων ῥέεν
αὐδή· ἐς ἣν δή γε οὐδεμιᾶς
ἰσχύος τῆς περὶ τὸ σῶμα ἐτύγχανε προσδεόμενος.
καὶ μὲν δὴ ὁ κλεινὸς ὁ τῆς Ἑλλάδος ἡγε-
μὼν, δέκα τοιούτους οὐδαμοῦ Αἴαντι ὁμοίων
ἀλλὰ Νέστορι εὔχεται, ὅ δὴ ἂν προσγένοιτο

ὅμηρος

οἱ

συναμφιβαλεῖν τὸ μὴ οὐκ ὀλίγου χρόνου ἁ-
λῶναι τοῦ ἡλίου. ἀλλ' ἐπανάγε μοι δὴ ἐπὶ τὰ
περὶ ἐμαυτοῦ. ἐγὼ γὰρ τέταρτον ἤδη καὶ ὀγδοη-
κοστὸν ἔτος διάγων τουτί, βουλοίμην ἂν ἐμαυτὸν
ἂν σεμνύνεσθαι ἔχειν ἐφ' οἷς ὁ Κῦρος. ἔχω
μέντοι τοσοῦτον εἰπεῖν, ὡς ἰσχὺς μὲν οὐκ ἔτι
μοι καὶ αὐτὴ ἥτις ἤδη ποτὲ ἦν. ἢ στρατιώτῃ ἐπὶ
τῷ λιβυκῷ πολέμῳ, ἢ ταμίᾳ ἐπὶ τῷ αὐ-
τῷ τούτῳ πολέμῳ, ἢ ὑπάτῳ ἐν ἰβηρίᾳ. ἢ
ὕστερον ἔτει τετάρτῳ ἡνίκα χιλιαρχοῦντι
ἀμφὶ θερμοπύλας κατεμαχόμην. μάρκου
ἀκιλίου γλαβρίωνος ὑπάτου. ἀλλὰ μὴν
σαφῶς με ἐξενεύρωσε τὸ γῆρας οὐδὲ ἐκά-
κωσεν ὡς καὶ αὐτοὶ δὴ ὁρᾶτε. οὐδὲν γὰρ
τὸ βουλευτήριον ὡς ἀπὸν ποθεῖ τὴν ἐμὴν
ἰσχύν. οὐδὲν τὰ ἔμβολα. οὐδὲν οἱ φίλοι.
οὐδὲν οἱ πελάται. οὐδὲν οἱ ξένοι. οὐδὲ γὰρ
πώποτε ἐζήλωκα τεθειμένην τὴν παλαιὰν καὶ
ἐπαινετὴν παροιμίαν, ἢ γέροντα πρωϊαίτερον
γίγνεσθαι παραινοῦσαν, εἰ βούλοιο ἐπὶ πολὺ
γέρων εἶναι πρὶν εἶναι. ἀμέλει καὶ οὐδείς με
ἔτι καὶ νῦν ἔσχεν εὑρεῖν μὴ ἄσχολον ὄντα.
ἀλλ' ἰσχὺν ἔλασσον ἔχω. ἢ ὁποτεροσοῦν
ὑμῶν; ἀλλ' οὐδ' ὑμεῖς γε τὴν τίτου ποντίου
τοῦ ταξιάρχου ἰσχὺν ἔχετε. ἆρ' οὖν διὰ

ἀμελεῖ

τοῦτ' ἐκεῖνος βελτίων ἂν ἡμῶν εἴη; μόνον
ἰσχύος σώματι μεγίστης παρέσω, τοσοῦτον δ' ὅσον
ἂν ἕκαστος δυνατὸς ᾖ ἀγωνίζεσθαι. καὶ
δὴ ἐκεῖνος οὐδέν τι πόθῳ πρακτέον μεγάλης
ἰσχύος. Μίλων γε μὴν Ὀλυμπίασι παρελθεῖν
εἰς τὸ θέατρον λέγεται βοῦν ζῷον ἀνέχων τοῖς
ὤμοις, πότερον οὖν τὴν περὶ τὸ σῶμα ταύτην,
ἢ τὴν τῆς Πυθαγόρου ἀγχινοίας ἰσχὺν ἂν ἕλ-
οιο δοθῆναί σοι. ἁπλῶς δὴ τῷ ἀγαθῷ τούτῳ
χρώμενοι πρὸς οὐδέν τι, ἀπὸ δὲ μηδὲν ἐπιζητεῖτε·
ἢ μὴ τάχα καὶ ἔφηβοι, τέως μὲν τὴν παι-
δικὴν ἡλικίαν· σμικρὸν δὲ παραμείναντες
τὴν ἀνδρικὴν ἐπιζητεῖτε μέλλοντες· ὅρος
ἡλικίας ὡρισμένος καὶ φύσεως οὐδεὶς μέν
καὶ αὕτη ἁπλῆ· εἰκάσαντι ὡραιότητι τῷ μέ-
ρος ἡλικίας ἕκαστον ἔλαχεν. ὥσπερ γάρ τοι,
ἀσθενέστατα μὲν ἐστὶ παίδων, ἀλκὴ δὲ νεανίσ-
κων· σεμνότης δὲ ἤδη ἐμβριθοῦς ἡλικίας,
οὕτως ἄρα καὶ ἡ τοῦ γήρως πέπανσις ἔχει
τι κατὰ φύσιν ὅπερ εἰς καὶ ἐγὼ οἶκον οὐ προσήκει
παραλαμβάνεσθαι. ἀλλοῖ καὶ σεπινθάνε-
σθαι ὥσπερ ἐπὶ ἅττα μασανάστης ὁ θεὸς
νομιζόμενος ξένος ποιεῖ τὸ ἥμερον, ἔτι
ἐνενήκοντα γεγονώς· πεζοῦ μὲν ἐπιβαλλόμενος
ὁδοιπορεῖν, ἐφ' ἵππου τὸ παράπαν δὲ καὶ ἀνα-

βαίνειν· ἔφιππον δέ, ἀφ᾽ ἵππου οὐδαμοῦ
καταβαίνειν, μηδενί τε ὄμβρῳ μηδενὶ
ψύχει προσάγεσθαι καλύπτεσθαι τὴν κεφαλήν,
ξηρότητά τε ἐς βασιλέα, καθήκον τοῦ τε
ταξὶ λειτουργεῖν προστεταγμένον εὖ μάλα διά-
τελεῖν ἀφικνούμενον· δύναται τοίνυν σω-
φροσύνη καὶ ἄσκησις ἔτι κἀν τῷ γήρατι τῆς
πρόσθεν ῥώμης διαφυλάττειν· οὐκ ἔστι φη-
σὶ τῷ γήρᾳ ἰσχύς· ἀγοῦ δ᾽ ἀπαιτεῖται τὸ γῆ-
ρας ἰσχύν· καὶ νόμοις ἄρα καὶ ἔθεσιν ἡ με-
τρία ἡλικία τῶν τοιούτων λειτουργιῶν ἐστὶν
ἀτελής, ὡς οὐκ ἔστιν ὑφίστασθαι ἀνυπεύθυνος·
ὥστε τοὔνομα, ἃ μὴ δυνάμεθα, ἀλλ᾽ οὐδ᾽ ὧν
ἐν δυνάμει ἐσμὲν πράττειν, ἀναγκαζόμεθα.
ἀντίθεσις ἀλλ᾽ εἰσὶ πολλοὶ τῶν γερόντων οὕτως ἀδύ-
νατοι, ὥστε μήτε τούτων ἐπιτηδευμάτων
μήτε ὅλως τῶν κατὰ τὸν βίον λειτουργημάτων
οὐτινοσοῦν ἂν ἐφικέσθαι, ἀλλὰ τοῦτό γε
λύσις οὐ γήρως ἰδία κακία· ἀλλὰ κοινὴ δὴ π
ὑξεως ἀνθρωπίνης ὡς ἀδύνατος· καὶ γὰρ
ἦν ὁ Πόπλιος Ἀφρικανοῦ υἱός, ὅς σε ποι-
ητὸν ἔθετο· ὦ ἀδρανοῦς μᾶλλον δὲ μηδε-
μιᾶς εὐρωστίας, καὶ νόσου δὲ μεμοίρατο· ὃ
δὴ εἰ μὴ οὕτω συνέβαινεν, ἕτερον ἂν φέγ-
γος ἐκ τῆς πόλεως ἀνεφάνη· ἐκ γὰρ τὸ πειθ

μέγεθος τῆς ψυχῆς, οὐ πρῶτος ἐν διδασ-
καλίᾳ ἐξεταζόμενον οὗτος. τί δὴ θαυμαστὸν
ἐπὶ τῶν γερόντων, εἰ ἀσθενεῖς ὦσιν ἔνιοι, ὁ-
πότ᾽ αὐτὸ μηδὲ νέοι γε ἀποφυγεῖν ἔχουσιν.
Ἀντιτακτέον γε μὴν ὦ Σκιπίων καὶ Λαίλιε
τῷ γήρᾳ, καὶ κολαστέον πρὸς ἀκρίβειαν τὰς
αὐτοῦ κακίας. ὡς γὰρ πρός τινα νόσον, οὕτω καὶ
πρὸς τὸ γῆρας πολεμητέον. λόγον ὑγιείας
ἑκτέον. γυμνασίοις συμμέτροις χρηστέον.
τοσοῦτον βρώσεως καὶ πόσεως προσοιστέον, ὁ-
πόσα τὴν ἰσχὺν ἀναλαμβάνειν. ἀλλὰ μὴ
συμπιέζειν, μηδὲ δὴ μόνῳ τῷ σώματι
συλληπτέον. ἀλλὰ καὶ τῷ νῷ καὶ τῇ ψυχῇ
πολλῷ μᾶλλον. καὶ ταῦτα γὰρ εἰ μὴ καθάπερ
φωτὶ ἔλαιον ἐπιστάζοιτο, ἀποσβέννυται
ὑπὸ γήρως. καὶ σώματα μὲν γυμνασίων
καμάτοις βαρύνονται. ψυχαὶ δὲ γυμναζόμεναι
αἴρονται. γέροντας γὰρ εὐήθεις κεκίλιος ὁ
κωμικὸς λέγων, τοὺς ταχυπειθεῖς ζώντων
καὶ ἐπιλησμονὰς καὶ παραλελυμένους δη-
λοῖ. ἀπὸ οὐ γήρως ἁπλῶς οὕτω κακίαι.
ἀλλ᾽ ἀπράκτου καὶ νωθροῦ καὶ ὑπνηλοῦ
γήρως ἐστίν. ὡς γὰρ τὸ ἀσελγὲς καὶ ἀκό-
λαστον νεανίσκων μᾶλλον ἢ γερόντων ἐστίν,
οὐ μέντοι ἁπάντων τῶν νεανίσκων, ἀλλὰ

ἀντιθέσεις τοῦ γήρως.

τῶν μοχθηρῶν τὸν τρόπον, οὕτω καὶ ἡ πρεσβυ-
τικὴ αὕτη μωρία, ἣν κλῆρον ἔθος προσα-
γορεύειν, γερόντων κουφολόγων, ἀλλ' οὐχ ἁπάντων
ἐστίν. τέτταρας οὖν υἱεῖς ῥωμαλέους καὶ
θυγατέρας πέντε οἶκόν τε τηλικοῦτον καὶ
πελατείας τοσαύτας ἄππιος διῴκει γέρων τ'
ὢν καὶ τυφλός. εἶχε καὶ γὰρ τὴν ψυχὴν ὥσπερ
τόξον ἐντεταμένην. οὐδὲ [illegible] τῷ γήρᾳ
ὑπέπιπτον. οὐ μόνον γὰρ ἦν εἰκὸς αὐθεντείαν
ἀλλὰ δὴ καὶ ἡγεμονίαν τινὰ εἰς τοὺς ἑαυ-
τοῦ διεσώζετο. ἐδεδίεσαν οἱ δοῦλοι, κατῃδοῦν-
το τὰ τέκνα. ἀγαπητὸν σύμπαντες εἶχον.
ἤκμαζεν ἐν αὐτῷ τῷ οἴκῳ τὸ πάτριον σχῆμα,
καὶ μάθημα. οὕτω καὶ γὰρ εὐσχημόνως
ἔχει τὸ γῆρας εἰ αὐτὸ προστατεῖ ἑαυτοῦ, εἰ τῶν
οἰκείων δικαίων ἀντέχεται. εἰ μηδενὶ ἠν-
δραπόδισται, εἰ εἰς ἐσχάτην ἀναπνοήν, κύ-
ριον τῶν σφετέρων διατελεῖ. ὡς γὰρ νεανίσκον
ἐπαινῶ ὃ δὴ μέτεστί τι, σώματι μὲν γέρων ἂν
εἴη. ψυχῇ δὲ οὐ μήποτε ἦ. ἀτὰρ οὖν ἐμοὶ με-
τὰ χεῖρας βιβλίον ἕβδομον ἀρχαιολογίας,
τὰ τῶν παλαιῶν πάντα ὑπομνήματα συλλέγω.
τῶν ἐπιφανεστέρων δικῶν ὧν ποτε συνηγόρησα,
τοὺς λόγους νῦν μάλιστα ἐπιτελῶ. νόμιμα
οἰωνιστῶν καὶ ἀρχιερέων καὶ ἀστῶν δὴ συντάτ-

τομαι πυθαγορείων ἔθει τῆς περὶ μνήμην ἀ-
σκήσεως χάριν, ἅπερ ἂν ἡμέρᾳ ἑκάστῃ ἢ
εἴπω ἢ ἀκούσω ἢ πράξω ἑσπέρας ἀναπολῶ.
ταῦτά ἐστιν ἀσκήματα ἀγχινοίας· ταῦτα
στάδια νοῦ· ἐν τούτοις, ἱδρῶν ἐγὼ καὶ διαπο-
νούμενος οὐ πάνυ τι ἐπιποθῶ τὴν περὶ τὸ
σῶμα ἰσχύν. παρίσταμαι φίλοις, ἔρχομαι εἰς
τὴν βουλὴν συνεχῶς, πράγματα ἐκφέρω ἐν
εἶναι πολύ τι καὶ διὰ πολλοῦ μεμελετημέ-
ναι, ψυχῆς τε ἰσχύϊ οὐ σώματος ταῦτα δια-
φυλάσσω. ὧν εἰ καὶ ἔργῳ ἐφικνεῖσθαι μὴ
οἷός τε ἦν, ἀλλά μου τό γε κλινίδιον εὐφραι-
νεν ἄν με αὐτὰ διαλογιζόμενον ταῦτα ἃ
πράσσειν μὴ δύνασθαι οὐκ εἰκός, δύνασθαι
δέ με πεποίηκεν ὁ παρεληλυθὼς οὗτος βίος.
ἀεὶ γὰρ τῷ περὶ πόνοις τοιούτοις καὶ σπου-
δαῖς βιοτεύοντι, οὐκ ἔστιν ἰδεῖν ὁπότε ὑπελ-
θοι τὸ γῆρας. οὕτως ἠρέμα καὶ ἀνεπαισθήτως
ἡ ἡλικία γηράσκει. οὐδέ τι ἐξαίφνης καταγ-
νύται. ἀλλὰ χρονίως ἀποσβέννυται.

Ἐχόμενον δὲ τῶν εἰρημένων περὶ τὴν βλασφη- τρίτον
μίαν τοῦ γήρως ἥν φασιν αὐτὸ στέρεσθαι ἡδο-
νῶν· ὦ τοίνυν λαμπρότατον ἡμῖν ἡλικίας
δῶρον, εἴγε τοῦθ' ἡμῶν ἀφαιρεῖται ὅπερ
τῶν φαυλοτάτων ἐστὶν ἐν νεότητι. λάβετε

γάρ ὦ βέλτιστοι νέοι λόγον ἀρχαῖον ἀνδρὸς
τοῦ μεγάλου τε καὶ περιφανοῦς ἐς τὰ πρῶ-
τα, ἀρχύτου ταραντίνου, ὅς μοι ἐνεγκεχει-
ρισμένα νεανίσκῳ ἐν τάραντι διαβιοῦντι ἅμα
κυΐντῳ μαξίμῳ. οὐδένα γάρ τοι λοιμὸν ἔ-
φασκ' ἀνθρώποις δεδόσθαι ἀπὸ τῆς φύσεως ὀλε-
θριώτερον, ἡδονῆς τῆς διὰ τοῦ σώματος, ἧς
ἂν τὸ τῆς ψυχῆς ἐπιθυμητικὸν καὶ ἀλόγιστον
ἐμφορηθῆναι ἰταμῶς τε καὶ ἀδιοικήτως ὀργῶ-
ντε καὶ καθερεθίζετο ἐντεῦθεν προδοσίας πα-
τρίδων. ἐντεῦθεν πολιτειῶν ἀνατροπάς. ἐν-
τεῦθεν λαθραίας πρὸς πολεμίους ἀναφύεσθαι
συνουσίας. ἁπλῶς τε μηδὲν ἄγος, μηδέ τιν'
κακουργίαν εἶναι ἥντινα οὐκ ἂν ἡ τῆς ἡδονῆς
ἐπιθυμία προσδέξασθαι συνωθήσειεν. διακο-
ρήσεις δὲ καὶ μοιχείας καὶ σύμπασαν ὕβριν
τοιαύτην μὴ ἂν ἄλλως εὑρίσκειν ἀλλ' ἢ ἡδοναῖς
προξενεῖσθαι. ἀνθρώπῳ δὲ δὴ μηδὲν ἐξοχώτερον
νοῦ ἢ τῆς φύσεως ἢ τῆς τοῦ θεοῦ δοθέντος.
τούτῳ δὲ τῷ θείῳ δώρῳ τε καὶ χαρίσματι,
μηδὲν οὕτως ἐναντίον εἶναι ὡς ἡδονήν. μὴ γὰρ
ἂν ἀκολασίας κρατούσης σωφροσύνῃ χώραν
ὑπάρχειν, μηδ' ὅλως ἐν ἡδονῆς βασιλείᾳ δύνα-
σθαι ἀρετὴν συσταθῆναι. ὃ δὴ ἵνα καὶ μᾶλλον
ἐκμάθοιτε, πλάττειν ἐκέλευε τῇ διανοίᾳ

κατηρεθισμένου τινὰς σώματος ἡδονὴ τοσαύτη ὁπόσην ἂν δύναιτο ὡς ἔτ᾽ ἂν εἶναι, εἰ μὴ ἐν ᾧ σφόδρα γέγηθεν οὕτω χρονίως μηδὲν διαπράσσεσθαι νῷ· μηδενὸς λόγῳ· μηδὲν λογισμῷ ἐπιτυγχάνειν ἱκανὸς εἴη· διὸ μηδὲν οὕτω βδελυρὸν μηδ᾽ οὕτω θανατηφόρον εἶναι ὡς ἡδονήν· εἴγε αὕτη μείζων τε οὖσα καὶ χρονιωτέρα, πᾶν τὸ φῶς τῆς ψυχῆς ἀποσβεννύοι· ταῦτα μετὰ γαΐου ποντίου τοῦ πρὸς ὑφ᾽ οὗ τῷ καυδηνῷ πολέμῳ σπούριος ποστούμιος καὶ τίτος βετούριος ὕπατοι ὄντες ἡττῶνται, διαλεχθῆναι τὸν ἀρχύταν νέαρχος ταραντῖνος ξένος ἡμέτερος ὃς ἀεὶ φίλος τῷ δήμῳ τῶν ῥωμαίων διέμεινε παρὰ τῶν πρεσβυτέρων ἔλεγεν εἰληφέναι· ἡνίκα δὴ τῷ λόγῳ τούτῳ παρεγένετο καὶ πλάτων ὁ ἀθηναῖος ὃν ἐς τάραντα ἀφικέσθαι λευκίου αἰμιλίου καὶ ἀππίου κλαυδίου ὑπατευόντων εὑρίσκω· τοῦ δὲ ἕνεκα ταῦτα; ἵνα δῆτε ὡς εἰ μὴ παρ᾽ οὐδὲν τίθεσθαι τὴν ἡδονὴν λόγῳ τε δυνάμεθα καὶ σοφίᾳ, χάριν πολλὴν ἄξιον ἔχειν τῷ γήρᾳ ὡς μὴ προσφιλῆ τὰ μὴ δέοντα ἀπεργαζομένῳ· εὐβουλίᾳ γὰρ ἐμποδὼν γίνεται ἡ ἡδονή λόγῳ τε πολεμία ἐστὶ καὶ τὰ τοῦ νοῦ, ὡς ἔπος εἰπεῖν,

κατάστρεβλοῖ ὄμματα. οὐδ' ἔτι πρὸς ἀρε-
τὴν σύνταγμα ἔχει. ἐγὼ δὲ ἄκων μὲν διε-
πραξάμην ἐκβαλεῖν τῆς συγκλήτου λευ-
λεύκιος φλαμί-νιος κίου φλαμινίου ἀδελφοῦ τίτου φλαμινί- 81
γενναιοτάτου ἀνδρός. ἑπτὰ μάλιστα ἔτεσι,
μετὰ τὴν αὐτοῦ ὑπατείαν. ἐχρῆναι μὲν τὸ
πάθος ἀκόλαστον ἀτιμάσαι ᾤμην, ἐκεῖνος
γὰρ ὕπατος ὢν ἐν γαλατίᾳ παρακέκληται
πρὸς τοῦ ἐρωμένου ἐν συμποσίῳ διαπελε-
κίσαι τινὰ τῶν ἐν δεσμοῖς κατακρίτων
ἐπὶ θανάτῳ, καὶ τότε μὲν δὴ ἐξώλισθαι
τιμητοῦ ὄντος τοῦ ἀδελφοῦ ἐγγύτατα
πρὸ ἐμοῦ αἱρεθέντος. ἐμοὶ δὲ καὶ φλάκκῳ
οὐδέποτε ἐγένετο δυνατὴ ἀποδέξασθαι
ἀσελγὴς οὕτω καὶ ἐξώλης ἐρωτοληψία,
ἣ ἰδιωτικῷ ὀνείδει, ἀδοξίαν τῆς ὅλως
ἀνῆπτεν ἡγεμονίας. πολλάκις δὲ τῶν πρεσ-
βυτέρων ἐπυθόμην λεγόντων σφᾶς νέους
κομιδῇ ὄντας, ἀκοῦσαι τῶν γεραιτέρων, ὡς
γάιος φαβρίκιος εἰωθὼς ἦν θαυμάζειν, ὅτι
πρεσβευτὴς ὢν παρὰ πύρρῳ τῷ βασιλεῖ
πύθοιτο κινέου τοῦ θετταλοῦ ὡς ἀθήνη-
σιν εἴη τις σοφὸς προσποιούμενος εἶναι, φάσ-
κων πάνθ' ὅσαπερ ἂν ποιῶμεν χρῆναι εἰς
ἡδονὴν ἀναφέρειν ὅπερ ἀκούοντα αὐτοῦ μάρκον

κούριον ἢ τίτον κοριγκάνιον, ἐπεύχεσθαι
ἀωθέναι σαυνίτας τε καὶ πύρρον αὐτοῦ ταῦτα
πεισθῆναι ὅπως οἱ ῥᾷον ἡττᾶσθαι γένοιτο.
σφᾶς αὐτοὺς ἡδοναῖς ἐπιδεδωκότας, βεβι-
ωκέναι ἄρα μάρκος κούριος κατὰ πόπλιον
δέκιον τὸν πενταετίᾳ πρὸ τῆς ὑπατείας ἑαυ-
τὸν δεδωκότα· ᾔδει δὲ τὸν αὐτὸν τοῦτον καὶ
φαβρίκιος, ᾔδει δὲ καὶ κοριγκάνιος, οἳ δὴ τὸ
μὲν, ἐκ τοῦ καθ᾿ ἑαυτοὺς βίου. τὸ δὲ ἐκ τῆς πρα-
ξεως· οὗ λέγω ποπλίου δεκίου, ἔκρινον εἶναί
τι φύσει κάλλιστον καὶ λαμπρότατον· ὅπερ
ἂν ἐθελουσίως μαστεύοιτο, καὶ ὅπερ ἂν περιο-
ρωμένης τε καὶ καταφρονουμένης τῆς ἡδο-
νῆς τῶν βελτίστων ἕκαστος ἕποιτο. τί δὲ ταῦθ᾿
οὕτω συχνὰ περὶ ἡδονῆς; ὅτι οὐχ ὅσον ψόγος
οὐδεὶς ἀλλὰ καὶ μέγιστος ἔπαινος γήρως τὸ
μὴ πάνυ τι ποθεῖν τῶν τοιούτων ἡδονῶν
μηδεμίαν· ἀποστερεῖ φησὶν εὐωχιῶν ἢ τραπε- ἀντίθεσις λύσις
ζῶν εὐπρεπῶν, καὶ κυλίκων συχνῶν. οὐκ-
οῦν καὶ οἰνοφλυγίας καὶ ἀπεψίας καὶ ἀγρυ-
πνίας ἀπορεῖ. εἰ δ᾿ ἄρα τι καὶ δοτέον τῇ ἡδονῇ,
ἐπειδὴ τοῖς θωπεύμασιν αὐτῆς οὐ ῥᾳδίως ἀνθι-
στάμεθα, καὶ πλάτων δαιμονίως κακῶν
δέλεαρ τὴν ἡδονὴν ὀνομάζει, ἐκ τοῦ δὲ αὐτῇ
δηλονότι ἀνθρώπους ἁλίσκεσθαι ὥσπερ ἰχθύας

ἀκρίτῳ ἀγκίστρῳ; κἂν ἐξ εὐωχιῶν ἀσυμμέ-
τρων ἐνδεῶς ἔχοι τὸ γῆρας, δύναταί γε με-
τρίοις ἥδεσθαι συμποσίοις. γάιον γοῦν δυίλ-
λον τὸν μαρτίου, ὃς ἤδη στόλῳ πρῶτος λίβυας
ἐκράτησε πολλάκις παῖς ὢν γέροντ' ἑώρων
οἴκαδε ἀναλύοντα μετὰ δεῖπνον· ἥδετο γὰρ
θαμὰ λαμπάδι τε καὶ αὐλῷ ἃ πρὸς οὐδὲν
παράδειγμα ἰδιώτης ὢν ἑαυτοῦ προσειλήφει.
τοσοῦτον εἰς αὐτὸν ἐξουσίαν παρεῖχεν ἡ εὔ-
κλεια. ἀλλὰ τί τὰ περὶ τῶν ἄλλων ἔξω πρὸς
ἐμαυτὸν δὴ ἐπανήξω, πρῶτα μὲν γὰρ συσσί-
τους ἔχον αἰεί· συσσιτίαι δὲ ταμιεύοντος
ἐμοῦ συναδέδειται τῶν ἰδαίων παραλαμβα-
νομένων τελετῶν τῆς μεγάλης μητρός. εὐ-
ωχούμην οὖν μετὰ συσσιτίων πάνυ μετρίως.
ἀλλ' ἦν ὡς ἔοικε ζέσις τῆς ἡλικίας ἧς προϊού-
σης πάντα πραότερα τῷ χρόνῳ καθίσταται.
οὐδὲ γὰρ τὴν τῶν συμποσίων αὐτῶν εὐφρο-
σύνην, ἡδοναῖς ταῖς περὶ τὸ σῶμα πλέον ἢ
τῷ χορῷ τῶν φίλων καὶ τοῖς λόγοις ἐμέτρουν.
καλῶς γὰρ οἱ ἡμέτεροι πρόγονοι τὴν περὶ
τὰς εὐωχίας τῶν φίλων κατάκλισιν, ὅτι
περὶ σύνδεσμον ἔχει βίου συμβίωσιν ἀπε-
κάλεσαν, καὶ ἄμεινον ἤπερ ἕλληνες· οἳ ταὐτὸ
τοῦτο ὅτε μὲν συμπόσιον ὅτε δὲ σύνδειπνον

ὀνομάζουσι· ὥσθ' ὅπῃ ἐνταῦθα ἐλάχιστον,
τοῦτο μάλιστα φαίνεσθαι ἀποδεχομένους.
ἐγὼ δὲ διὰ τὴν ἀπὸ τῶν λόγων εὐθυμίαν, καὶ
συμποσίοις ἐπικαίροις ἐνασμενίζω· καὶ οὐ μό-
νον μεθ' ἡλικιωτῶν ἐμαυτοῦ, οἳ γ' ὀλίγοι δὴ
παντάπασιν ὑπολείπονται· ἀλλὰ καὶ μετὰ τῶν
ἐν ἡλικίᾳ τῇ ἡμετέρᾳ καὶ μεθ' ἡμῶν αὐτῶν,
χάριν τε ἔχω τῷ γήρᾳ πολλὴν, ὅ μοι τὴν μὲν τῶν
λόγων ἐπιθυμίαν ηὔξησε, τὴν δὲ τῆς πόσεως
καὶ βρώσεως ἀπεμάρανεν, ὥστ' ἔτι γε καὶ
ταύτῃ εὐφραίνει, ὡς ἂν μὴ παντάπασι δόξω
πόλεμον καταγγέλλειν τῇ ἡδονῇ· ἧς ἔνεστιν
ἴσως μέτρον τι κατὰ φύσιν οὐδὲν αὐταῖς
δὴ ταῖς ἡδοναῖς ταύταις, ἀναισθήτως τὸ γῆ-
ρας διαθεῖσα ὁρῶ ἐμέ. γάρ τοι καὶ συμποσι-
αρχίαι εὐφραίνουσι πρὸς τῶν προγόνων συν-
τεταγμέναι, καὶ λόγος ὁ περὶ συμποσιάρχου
τοῦ μεγίστου ἐς τὸν κώθωνα ἔθει προγόνων πρά-
γεται· καὶ κύλικες ὡς ἐν τῷ Ξενοφῶντος
συμποσίῳ, σμικραὶ καὶ ἐπιψεκάζουσαι,
ψῦχός τε ἀκμῇ θέρους, καὶ αὖ ἐν μέρει ἤτοι
ἥλιος ἢ πῦρ, ὥρᾳ χειμερινῇ· ἃ δὴ καὶ ἐν
σαβίνῃ μετιέναι ζωθέζω· συμπόσιόν τε ἀ-
γροικοτόνων σιγηποτῶν καθέναξιν· καὶ τοῦτ
πόρρω νῦν τῶν ἡμᾶς λίαν δυνατοῦ λόγοις

στρατευόμενον διαφόροις, ἀπ' οὐκ ἔστιν ἡ-
δονῶν τοσοῦτος, οἷον γεγηρακὼς ἐν τοῖς γέρουσι
ποθοῦμαι, ἀλλὰ μὴν οὐδὲ ποθοῦσί γε. χαλεπὸν
δὲ οὐδὲν ὧν ἂν μὴ ποθῇς. εὖ οὖν καὶ σοφοκλῆς
ἐρομένου τινὸς αὐτοῦ ἡλικίᾳ ἤδη κατειργασ-
μένου εἰ ἔτι χρῷτο ἀφροδισίοις, εὐφήμει
ἔφη· ἐγὼ γὰρ ἄσμενος αὐτὸ ὥσπερ τινὰ λυττῶν-
τα καὶ ἄγριον δεσπότην ἀπέφυγον. τοῖς
μὲν γὰρ ἐρωτικῶς ἔχουσι τῶν τοιούτων, μι-
σητὸν ἴσως τὸ στέρεσθαι καὶ χαλεπόν. διακο-
ρέσι δὲ ἤδη κατὰ πλέον τοῦ ἀπολαύειν τὸ στέ-
ρεσθαι ἥδιον. καὶ τοῖς γε οὐδὲ δεῖται ὃς ἂν μὴ
ποθῇ. τοιγαροῦν τὸ μὴ ποθεῖν τοῦτο, ἥδιον
φημὶ εἶναι. ὥστ' εἰ τούτων αὐτῶν ἀπολαύει
τῶν ἡδονῶν ἥδιον ἡ χρηστὴ ἡλικία πρῶτον
μὲν σμικρῶν τινῶν ὡς ἔφαμεν ἀπολαύει, ἔ-
πειτα δὲ ὧν καὶ τὸ γῆρας κἂν πρὸς ἄφθονον μὴ
ἐμφορεῖται, ἐνδεὲς οὐκ ἔστιν παντάπασιν.
ὡς γὰρ ἐπὶ τουρπίωνι ἀμβιβίῳ, ἥδεται μέν τι
μᾶλλον ὁ ἀπὸ τοῦ πρώτου θεωρητηρίου θεώ-
μενος. ἥδεται δ' αὖ καὶ ἀπὸ τοῦ τελευταίου, 18
ὡς καὶ νεότης ταῖς ἡδοναῖς ἐγγύθεν προβαλοῦσα (margin: προβλέπουσα)
μᾶλλον ἥδεται ἴσως. ἥδεται γε μὴν καὶ τὸ
γῆρας θεώμενον αὐτὰς πόρρωθεν ὅσον ἱκα-
νῶς ἔχοι. ἀγαθὰ ἐκεῖνό γε ἡλίκον, τὸ τὴν ψυχὴν

ὥσπερ μισθοφορῶν πεπαυμένην ἀκολα-
σίας. φιλοτιμίας. φιλονεικίας. ἔχθρας πασῶν
ἐπιθυμιῶν. καθ᾽ ἑαυτὴν εἶναι καὶ μεθ᾽ ἑαυτῆς
τὸ λεγόμενον ζῆν. ἐὰν δὲ δή τι καὶ σπουδῆς
καὶ μαθήσεως οἷον τινὰ χιλὸν ἔχῃ, οὐδὲν ὡς ἀ-
ληθῶς σχολὴν ἄγοντος ἥδιον. μόνου γῆ ἐνα-
ποπνέοντα σπουδῇ τῶν περὶ τοῦ οὐρανοῦ καὶ γῆς
ἀναμετρήσεων γάλλον ἑωρῶμεν τὸν οἰκεῖον
τοῦ σοῦ πρὸς ὦ σκιπίων, ὁσάκις μὲν ἐκεῖνον
ἡ ἕως ἐγχειρήσαντα νύκτωρ διαγράφειν ἄττα
ἐπέσχεν. ὁσάκις δ᾽ αὖ ἡ νύξ, ἀρξάμενον
ἕωθεν· ὅσον αὐτὸν εὔφραινε τὸ τὰς ἡλίου
καὶ σελήνης ἐκλείψεις πολὺ πρόσθεν προ-
λέγειν ἡμῖν. τί δ᾽ ἐν ἐλαφροτέραις μέν, ὀξεί-
αις δὲ καὶ ταῖς σπουδαῖς; ὅσον μὲν ναίβιος
ἔχαιρε τῷ ἑαυτοῦ λιβυκῷ πολέμῳ. ὅσον
πλαῦτος τῷ τρυκυλέντῳ, ὅσον τῷ ψευδούλῳ.
εἶδον ἔτι καὶ λίβιον γέροντα ὃς ἓξ ἔτεσι
πρὸ γενέσεως τῆς ἐμῆς ῥαψῳδίαν διδάξας,
προβεβήκει ζῶν ἄχρι ἐμῆς ἐφηβείας. τί δ᾽
ἂν περὶ τῆς ποπλίου λικινίου κράσσου
σπουδῆς, περί τε ἀρχιερωσύνην καὶ τὸ πολι-
τικὸν νόμιμον λέγω; ἢ τῆς αὐτοῦ ποπλίου
σκιπίωνος, ὃς ὀλίγων ἡμερῶν τῶν δὲ μέγιστος
ἀπεδείχθη ἀρχιερεύς. καὶ γὰρ ἅπαντας τούτους

ἀνέμνησθε τούτοις, σπουδὴν πνέοντας τοι-
ούτων, ἐν γήρᾳ ἔδομεν, μέθηκον δὲ κέθηγον
ὃν ἔννιος μελίγηρυν ὀνομάζει, ὅση σπου-
δῇ γυμναζόμενον εἰς τὸ λέγειν ἑωρῶμεν καὶ
γέροντα τινά· τίνας οὖν εὐωχιῶν ἢ ἀγώνων ἢ παι-
δικῶν ἡδονὰς ἄξιον ταῖς ἡδοναῖς ταυταισὶ
παραβαλεῖν; καὶ αὗται μὲν τοίνυν σπουδαὶ
μαθημάτων εἰσίν, αἳ δὴ τοῖς συνετοῖς τῶν
ἀνθρώπων καὶ πεπαιδευμένοις σὺν κατὰ ταὐτὰς
τῷ βίῳ συναύξονται, οἷόν τι κἀκεῖνος τῷ σόλωνι
εὐσχημονολογούμενον ὅπερ ἐν μέτροις φησὶν ὡς
πρότερον εἶπον, γηράσκειν αἰεὶ πολλὰ διδασκό-
μενος, ἧς δὴ περὶ φρενῶν ἡδονῆς, οὐδ' ἂν μία
γεωργικαί — ὡς ἀληθῶς μείζων εἴη. Νῦν δὴ πρὸς τὰς τῶν
γεωργῶν ἔρχομαι ἡδονάς, αἷς ὑπερφυῶς ἥ-
δομαι ἔγωγε· αἳ δὴ οὔτε τῷ διακωλύονται
γήρᾳ, κἀμοὶ πρὸς βίον σοφοῦ ἐγγύτατα τῷ
πραγίνεσθαι — πραγίνομαι φαίνονται. ἔχουσι γὰρ τοι λόγιον
πρὸς γῆν, ἥ γε τὸ κελευόμενον οὐδέποτ' ἀναι-
νεται· οὐδ' ἔστιν ὅτε χωρὶς τόκου ἀποδίδωσι
τὸ ληφθέν. ἀλλ' ὅτε μὲν σὺν ἐπικαρπίᾳ ἐλάσ-
σονι. ὡς τὰ πολλὰ σὺν μείζονι ἀμείβεται.
καίτοι ἔμεγε οὐχ ὁ καρπὸς μόνον, ἀλλὰ καὶ
αὐτὴ ἡ τῆς γῆς δύναμίς τε καὶ φύσις εὐφραίνει.
ἥ τις εἰς κόλπον μεμαλαγμένον τε καὶ διερ-

γασμένον τὸ σχεδασθὲν σπέρμα ὑποδεξα-
μένη πρῶτον μὲν βωλοποιηθὲν συνέχει
πιέζουσα· ὅθεν δὴ καὶ βωλοποιία ἡ τόδε
ἀπεργαζομένη καλεῖται. ἔπειτα δὲ νοτίδι τε
καὶ πιλώσει διαχεῖ θερμαινόμενον· καὶ χλοερὰν
ἀπ' αὐτοῦ ἐφέλκεται πόαν. ἣ δὴ εἰλίοις πρὸ
ῥυτίσι τε καὶ παραστάσι, λεληθότως αὐξομένη
μακρανιοῦται. καὶ καλάμῃ εὐγονάτῳ ἀνα-
ταθεῖσα, λέμμασιν ἤδη καὶ θήκαις ὥσπερ
ἡβῶσά τε καὶ ἰουλοφύουσα περιπλέκεται.
τούτων δ' ἀναδῦσα, ἀποχεῖ τὸν καρπόν, στα-
χύος ἐν τάξει συντεταγμένον καὶ πρὸς τὰ
τῶν ἐλασσόνων ὀρνίθων δήγματα ἀθέρων σταυ-
ροῖς ἐχυρῶς πεχαρακωμένον. τί δ' ἀμπέλων
περὶ γενέσεως καὶ φυτεύσεως, καὶ αὐξήσεως
ἀναμιμνήσκω· κόρου τε εὐφροσύνης τῷ ὄντι
λαβεῖν οὐχ οἷός τέ εἰμι, ἵνα τὴν τοῦ ἐμοῦ γήρως
ἀνάπαυλάν τε καὶ ἡδυπάθειαν εἰδῆτε. παρ-
ίημι γὰρ τὴν δύναμιν αὐτὴν πάντων τῶν ἐκ
τῆς γῆς φυομένων. ἢ τίς ἐκ τηλικαύτης κεγ-
χραμίδος ἢ γιγάρτου, ἢ ἑτέρων καρπῶν
ἢ ῥιζοφύτων τινῶν ἐλαχίστων σπερμάτων,
τηλικαῦτα στελέχη καὶ κλάδους δημιουρ-
γεῖ. μοσχεύματα δὲ καὶ φυτευτήρια, καὶ ὦχαι
καὶ ὑπόρριζοι καὶ ἀπόρρωγες, ταῦτα πάντα

οὐχ οὕτω πως διατίθησιν, ὡς μὴ ἂν θαύματος
ἄνευ τέρπεσθαι μηδὲ οὑτινοσοῦν. ἄμπελος
δὲ δὴ φυτὸν εὐκατάπληκτος οὖσα· καὶ εἰ μὴ
ἀπερειδομένη· ἤδη δὲ πως ἑαυτὴν ἀνορθοῖ, συμ-
φύτοις ἕλιξιν οἷον χερσὶν, ὅτου ἂν λάβηται
περιπτύσσεται. ἡ τ' ἄφθορος οὖσα ὀλίσθῳ πο-
λυσχιδεῖ τε καὶ πάντη, σιδήρῳ τέχνης γε-
ωργοῦ περιαιρουμένη κατίσχεται, μὴ κλη-
ματίσιν ἀλλομανῆ καὶ πανταχόθεν διαχέ-
ηται πλέξει. ἔαρος δὲ ὑποφαίνοντος ἐν τοῖς
καταλοίποις αὐτοῖς ὥσπερ ἀπὸ μετώπου τῶν
κλημάτων ἀνέωγεν ὁ καλούμενος ὀφθαλ-
μός. ὅθεν ὁ βότρυς ἑαυτὸν δεικνὺς ἀνίσχων.
ὁ δ' αὖ γῆς εὐτροφίᾳ καὶ θάλπει ἡλίου αὐξό-
μενος. πρῶτα μὲν στρυφνότατός ἐστι γεύσασθαι.
ἔπειτα δὲ γλυκαίνεται πεπαινόμενος· οἰναρίων
περικλώμενος, οὔτε θερμοῦ ἐπιμιξείας ἀμοι-
ρεῖ· καὶ τοῦ τοῦ ἡλίου ἰσχυροῦ καύσωνα
διαφεύγει, καὶ τί ποτ' ἂν ἡ εὐκαρπία τοῦ δὲ
ἁβρότερον. ἡ εὐμορφία περικαλλέστερον
γένοιτο. τοῦ δὲ οὐ τὸ ὄφελος μόνον ὡς πρότερον
ἔφημεν, ἀλλὰ καὶ ἡ θεραπεία καὶ ἡ φύσις αὐ-
τὴ με εὐφραίνει. χαράκων στοιχία· κορυ-
φῶν συζυγία· ἀναδέσεις καὶ καταθέσεις
ἀμπέλων καὶ κλημάτων. τῶν μὲν ὡς εἴρηται

περιαιρέσεις, τοῦ δὲ προσθέσεις τί δ' ἀρδεύσεις
τί δὲ σκαπάνας, καὶ νεώσεις, καὶ γύρας,
καὶ βωλοστροφίας ἀγρῶν ἀπαγγέλλω, οἷς ἡ
γῆ πολὺ γονιμωτέρα καθίσταται; τί δὲ κόπρου
ὠφελείας πέρι διδάσκω; γέγραφα ἐν οἷς λόγοις
περὶ τῶν ἀγροίκων συντεταγμένος εἰμί. ἧς πέρι
ἡσίοδος ὁ σοφὸς οὐδένα πεποίηται λόγον,
γράφων περὶ ἐργασίας ἀγροῦ. ἀλλὰ μὴν ὅ-
μηρος ὥς ἐμοὶ δοκεῖν πολλοῖς πρόσθεν ἢ
ἔτεσιν λαέρτην ἀπολεαίνοντα τὸν πόθον ὃν
κατείχετο πόθῳ τοῦ υἱοῦ, ἀγρὸν ἐργα-
ζόμενον καὶ περιέχοντα κόπρον ποιεῖ. οὐδὲ
δὴ λῃΐοις μόνον καὶ λειμῶσι, καὶ ἀμπε-
λῶσι καὶ δενδρῶσιν, ἡδέως ἔχει τὰ τῶν
ἀγροικικῶν. ἀλλὰ καὶ κήποις καὶ πρασιαῖς
καὶ τῇ μὲν βοσκημάτων νομῇ. τοῖς δὲ σμή-
νεσι μελισσῶν. καὶ ποικιλίᾳ παντοδαπῶν
ἀνθέων. οὐδ' αὖ μόνον φυτείαις ἐνασμενί-
ζομεν, ἀλλ' ἔτι καὶ ἐμφυτείαις. ὧν οὐδὲν
εὗρε τῆς γεωργίας φιλοτεχνότερον. πολ-
λὰ ἔπι τῶν κατ' ἀγροικίαν ἀπολαυσμάτων
ἔχω διεξελθεῖν. ἀλλ' αὐτὰ ἅπερ εἴρηκα, ταῦτα
μακρότερα αἰσθάνομαι εἰρηκώς. συγγνώσεσθε
δέ. σπουδῇ τε προῆγμαι τῶν ἀμφὶ τοὺς ἀ-
γρούς, καὶ ἅμα τὸ γῆρας φύσει λαλίστερον,

ἵνα μὴ πάσης αὐτὸ κακίας φαίνωμαι
ἀπηλλάτων. τοιγαροῦν ἐν τῷ τοιῷδε βίῳ,
μάρκος κούριος ἐπειδὴ ἀπὸ σαυνιτῶν
καὶ σαβίνων καὶ πύρρου νικητήρια ἔ-
πεμψε, τοῦ τελευταίου τῆς ἡλικίας χρόνιον
διακατεβίω, οὗ τὴν ἔπαυλιν ἐγὼ θεωρῶν, ἀ-
πέχει γὰρ ἀπ' ἐμοῦ οὐ πολύ. θαυμάζειν ἀπο-
χρώντως οὐκ ἔχω, οὔτε τὸ ἐγκρατὲς τοῦ
ἀνδρός, οὔτε τὸ ἀπὸ τῶν χρόνων πολυμαθεῖν.
κουρίῳ δὲ τούτῳ πρὸς ἐσχάρᾳ καθεζομένῳ
σαυνῖται σταθμὸν χρυσίου μέγαν ἔχειν λαμ-
πρὸν οἱ ἔφη δοκεῖν, ἀλλὰ τὸ κρατεῖν τῶν ἐχόν-
των χρυσίον. ἆρ' οὖν δυνατὸν ψυχὴν τηλικαύ-
την μὴ οὐ γῆρας ἡδὺ ἀπεργάζεσθαι; ἀλλὰ
μέτειμι πάλιν πρὸς τοὺς γεωργικούς, ἵνα
μὴ αὐτὸς ἀπ' ἐμαυτοῦ δοκέω ἀποχωρεῖν.
ἐν ἀγροῖς ἦσαν τότε οἱ ἄνδρες τῶν ἐκ τῆς γε-
ρουσίας γέροντες καθάπερ εἰκός. εἴγε ἀροῦντι
λευκίῳ κοϊντίῳ κικιννάτῳ ἀπηγγέλθη,
ὅτι δικτάτωρ αὐτὸς αἱρεθείη. οὗ δικτα-
τωρεύοντος ἐπιτάξει, γάιος σερβίλιος
ἄλας ἄρχων τῶν ἱππέων. σπούριον μέλιον
βασιλείαν οἱ κατασκευαζόμενον φωραθέντα,
ἀπέκτεινεν. ἐξ ἐπαύλεως μεταπεμπτοὶ
τῷ βουλευτηρίῳ παρῆσαν οἵ τε περὶ κούριον,

καὶ ἔτρυγον τῶν· ὅθεν δὴ καὶ κλήτορες
οἱ καλοῦντες αὐτοὺς ὠνομάσθησαν. μὴ οὖν
τὸ γῆρας τούτων ἐλεεινὸν ἦν; οἳ σφᾶς αὐτοὺς
γεωργίᾳ τέρποντες διετέλουν; οὐ κατὰ τὴν
γνώμην ἐμὴν σὺ οἶδας, ἥτις βίος τούτου ἐκ
μακαριώτερον. οὐ μόνον ἐπιτηδεύουσι, τῷ
τὴν ἀγρῶν ἐργασίαν παντὶ τῷ ἀνθρωπείῳ γένει
σωτήριον πεφυκέναι· ἀλλὰ καὶ ᾗ ἔφην, εὐ-
φροσύνη καὶ πλήρωσις καὶ εὐπορία πάντων
ὅσα τε εἴς τε αὐτῶν τροφὴν εἴς τε θεῶν θερα-
πείαν· ἵνα ἐπειδὴ τινες τὰ τοιάδε ποθοῦσι.
εἰς χρείαν ἤδη τῇ ἡδονῇ ἐπανήκωμεν. ἀεὶ τὰ-
γαθοῦ καὶ ἐπιμελοῦς κύριον, μεστοὶ οἱ οἰνῶ-
νες, καὶ ἐλαιῶνες· καὶ μελιτῶνες· καὶ ὁ τῶ-
νες· καὶ κτήματα καὶ πᾶσα ἡ κώμη. ἐν πο-
ρεῖ δέλφακος ἀμνοῦ· ἐρίφου· ἀλεκτορίδος
γάλακτος· τυροῦ· μέλιτος. ἤδη δὲ καὶ τοὺς
κήπους αὐτοὶ γεωργοὶ ταριχείαν ἑτέραν ἀπο-
καλοῦσιν. ἡ δίω θήρα ταύτῃ ἀποδεικνύει, ἡδεῖα
καὶ ἡ ὡς ἐν παρέργῳ ὀρνιθοθηρικὴ κυνηγία.
τί δὲ τοῦ τῶν λειμώνων εὐχλώρου καὶ εὐ-
ανθοῦς πέρι; ἢ τοῦ τῶν δένδρων εὐτακτοῦ,
ἢ τοῦ τῶν ἀμπελώνων τε καὶ ἐλαιώνων εὐει-
δοῦς, πλείω εἴπω; συνελὼν δὴ ἐς βραχὺ ἐρῶ.
ὅτι ἀγροῦ καὶ καλῶς γεγεωργημένου, οὐδὲ

ἂν γένοιτο οὔτε ἀφθονώτερον χρῆσθαι,
οὔτε μὴν ἐνδελεχέστερον θεάσασθαι. ὧν δὴ
οὐχ ὅπως τὸ γῆρας βραδύτερον ἢ ὡς ἐ-
παπολαύειν, ἀπείργεται· ἀλλὰ καὶ διε-
γείρει καὶ θέλγον προσάγεται. ποῦ γὰρ ἂν
ἡ ἡλικία δύναιτο εἶναι, ἤτοι ἡλίῳ καὶ πυρ-
καϊᾷ θερμαίνεσθαι βέλτιον; ἢ σκιαῖς ἐν
μέρει καὶ ὕδασι καταψύχεσθαι σωτηριω-
δέστερον. οἰκοῦν σφίσιν ἵπποι. σφίσιν ὅπλα.
σφίσιν ἀκόντια. σφίσιν ῥόπαλον καὶ σφαῖρα.
σφίσιν νήξεις καὶ δρόμοι· ἐχόντων οἱ νέοι.
ἡμῖν δὲ τοῖς γέρουσιν ἐκ παιγνίων πολλῶν
πεττούς τε καὶ ἀστραγάλους καταλειπόντων
καὶ τοῦτο αὐτὸ μήποτε οὐκ ᾖ πρὸς θυμοῦ.
ἐπειδὴ καὶ τούτων ἄνευ, ἔξεστι τὸ γῆρας
εἶναι μακάριον. ἐν πολλοῖς γε μὴν τὰ Ξενο-
φῶντος βιβλία τυγχάνει χρήσιμα ὄντα.
ἃ δὴ καὶ σπουδαίως ἀναγινώσκειν ὑμᾶς
ἀξιῶ καθάπερ δὴ καὶ ποιεῖτε. ὅσον οὖν φι-
λοτίμως πρὸς αὐτοῦ γεωργία ἐπαινεῖται
ἐν ᾧ περὶ ἐπιμελείας τῶν κατὰ τὴν οἰκίαν πραγ-
μάτων, ὃ περὶ οἰκονομικῆς ἀπογράφεται.
καὶ ἵνα εἰδῆτε μηδὲν βασιλικὸν οὕτω δοκεῖν
ὡς τὴν περὶ γεωργίαν σπουδήν, Σωκράτης λέγει
ἐν αὐτῷ πρὸς Κριτόβουλον, Κῦρον τὸν

νεώτερον βασιλέα περσῶν, ἀγχινοίᾳ τε
καὶ ἡγεμονίᾳ εὐκλεᾶ διάφορον, ὅτε Λύ-
σανδρος ὁ Λακεδαιμόνιος, ἀνὴρ ἀρετῆς
ἄκρου ἐλλικαπῶς ἀφίκετο πρὸς αὐτὸν εἰς Σάρ-
δεις κομίζων τὰ παρὰ τῶν συμμάχων δῶρα·
τά τ' ἄλλα κοινῶς καὶ φιλανθρώπως Λυσάνδρῳ
προσενεχθῆναι. καί τινα συμπεφραγμένον
ἀγρὸν πεφυτευμένον πρὸς ἀκρίβειαν
ἐπιδεῖξαι. ἐπεὶ δὲ ἐθαύμαζεν ὁ Λύσανδρος
τάς τε τῶν δένδρων εὐθυωρίας καὶ τὸν ὀρθὸν
εἰς πεντάδας ἐγγώνιον στίχους. καὶ τὸ τῆς γῆς
μαλθακὸν καὶ ὑπόκουφον, καὶ τὴν τῶν ἀν-
θέων ἀποπνεομένην καθαρῶς ἡδεῖαν ὀσμήν.
καὶ θαυμάζων εἶπεν μὴ μόνον τὸ ἀπηκριβω-
μένον, ἀλλὰ καὶ τὸ φιλότεχνον θαυμάζειν
τοῦ καταμετρήσαντος τὸ ἐκεῖνα καὶ διατάξαντος,
τοῦ Κύρου ἀποκρίνασθαι. ἐγὼ τοίνυν ταῦτα
διεμέτρησα πάντα. ἐμοί εἰσιν οἱ ὄρχοι· ἐ-
μὴ ἡ διάταξις. πολλὰ δὲ τῶν δένδρων αὐτοῦ
καὶ χειρὶ πεφύτευται τῇ ἐμῇ, καὶ τὸν Λύ-
σανδρον ἀποβλέποντα εἴς τε τὸν πορφυροῦν
κάνδυν· καὶ τὸν πολὺν χρυσοῦ καὶ πολλῶν
λίθων περσικὸν κόσμον εἰπεῖν, ὀρθῶς ἄρα σε ὦ
Κῦρε μακάριον σε εἶναι φασί. τύχῃ γὰρ
προσέζευκται σου τῇ ἀρετῇ. ταύτης τοίνυν

ἔξεστι καὶ γελοῖον ἀπολαμβάνειν, οὐδέ τι
τὰ τῆς ἡλικίας ἀπείργει, ὥσθ᾽ ἥκιστα τῶν τε
ἄλλων καὶ τοῦ γεωργεῖν ἐν τοῖς μάλιστα
ποιεῖσθαι σπουδὴν ἄχρι τελευταίου χρόνου 18
τοῦ γήρως. ἐπεὶ καὶ μάρκον οὐαλλέριον
κορβῖνον ὃς ἐς ἑκατοστὸν παρατείναντα
τὸ ζῆν πυνθανόμεθα, διαιτώμενον ἐν ἀγροῖς
τοῦ βίου ἤδη πεπερασμένου· καὶ γεωργίᾳ
προσέχοντα. ᾧ δὴ ἀπό γε τῆς πρώτης ὑπα-
τείας ἐπὶ τὴν ἕκτην. ἑπτὰ καὶ τεσσαράκοντα
ἔτη διεγεγόνει. ὥσθ᾽ ὅσον ἡλικίας διάστημα
ἐπὶ τὴν τοῦ γήρως ἀρχὴν οἱ ἡμέτεροι πρόγονοι
ἠξιώκασιν εἶναι, τοσοῦτος ἐκείνου δρόμος
περιεπάθη τιμῶν· καὶ τὸ ὕστατον τῆς αὐτοῦ
ἡλικίας ταύτῃ τοῦ μέσου μακαριώτερον.
ἦν ἀξίωμα μὲν μεῖζον, πόνον δὲ ἔχον ἐλάττω.
οὕτω γήρως κολοφών ἐστι τὸ ἀξίωμα, ὅσον
μὲν οὖν ἐν λευκίῳ καικιλίῳ μετέλλῳ. ὅσον
δὲ ἐν ἀτιλίῳ καλατίνῳ. ἐς ὃν ἕνα, πλεῖστα
ἔθνη τὸ ἐλεγεῖον ἐκεῖνο συνᾴδει. πρῶτος
ἀνὴρ ὅδε ἦν ἄστεος εὐρυόχλου. γνώριμον
εὖ μάλα τὸ ἔπος ἐπικεχαραγμένον τῷ
τάφῳ. ἐνδίκως ἄρα σεμνὸς ὅτῳ τοῖος
ἔπαινος. ἡ παρὰ πάντων φήμη ὁμογνωμο-
νοῦσα τυγχάνει. οἷον δ᾽ ἄνδρα νεωστὶ πόπλιον

κράσσον ἀρχιερέα μέγιστον τεθεάμεθα, οἷον
δὲ μετὰ ταῦτα μάρκον λέπιδον τῇ αὐτῇ
ταύτῃ κεκοσμημένον ἱερωσύνῃ. τί δὲ παύλου
πέρι; ἢ ἀφρικανοῦ λέγω; ἢ ὡς πρόσθεν ἤ-
δη περὶ μαξίμου, ὧν οὐ τῇ γνώμῃ μόνον ἀλ-
λὰ νεύματι αὐτῷ ἐπεκάθιζε τὸ ἀξίωμα.
ἔχει καὶ γὰρ τὸ γῆρας καὶ μάλιστα τὸ ὂν
ἐν ἐπιτιμίας τοσοῦτον ἀξίωμα. ὡς τοῦτο περὶ
πλέονος εἶναι πασῶν ὁμοῦ τῶν ἡδονῶν τῆς
νεότητος. ἀλλὰ γὰρ μεμνῆσθαι δεῖ παρὰ πάντα
τοῦ λόγου. ὡς ἐγὼ γῆρας ἐκεῖνο δὴ ἐπαινῶ, ὅπερ
ἐπὶ κρηπῖδος νεότητος βεβηκὸς ἕστηκε ταύτ-
ἄρα καὶ συμβαίνει ὅπερ αὐτὸς πάλαι συνο-
μολογίας μεγάλῃ ἁπάντων ἀπεφηνάμην,
ὡς ἄρα ἄθλιον γῆρας ἐν ᾧ τῷ λόγῳ μόνον προΐ-
σταμενον ἑαυτοῦ. οὐ γὰρ πολιαὶ. οὐδὲ ῥυτίδες
ἐξαίφνης ἱκαναὶ, προσφέρειν ἀξίωμα. ἀλλ'
ὁ πρὸ τοῦ καλῶς διηγμένος βίος; καρπὸν
τελευταῖον δρέπεται ἀξιώματος. ταυτὶ γάρ
ἐστιν αὐτά που τὰ ἔντιμα, ἅπερ ἐλαφρὰ καὶ
κοινά πως δοκεῖ. ἀσπάζεσθαι. ἐφίεσθαι,
ἐξίστασθαι. ἀνίστασθαι. προπέμπειν. ἐπα-
ναπέμπειν. συμβουλεύεσθαι. ἃ δὴ καὶ ἐν ἡ-
μῖν καὶ ἐν ταῖς ἄλλαις τῶν πόλεων ὡς ἀρίστων
ἠθῶν ἔχει ἑκάστη. οὕτω τοι καὶ ἀκριβέστατα

διασώζεσθαι. λύσανδρον οὖν τὸν λακεδαιμό-
νιον οὐ μάτην πεποίημαι λέγειν εἰωθέναι
φασὶν ὅτι εὐσχημονέστατον γήρως δωμά-
τιον ἐν λακεδαίμονι εἴη· οὐδαμοῦ γὰρ ἀ-
πονέμεσθαι τῇ ἡλικίᾳ τοσοῦτον. οὐδαμοῦ γὰρ
γῆρας ἐντιμότερον εἴη· οὐ μὴν ἀλλὰ καὶ παρα-
δέδοται εἰς μνήμην. ὡς ἀθήνησι θεῶν ἐπι-
τελουμένων, τινὸς τῶν πρεσβυτάτων εἰς τὸ
θέατρον παρεληλυθότος, οὐδαμοῦ τοῦ με-
γάλου συνεδρίου τόπος αὐτῷ δοθείη ὑπὸ
τῶν αὐτοῦ πολιτῶν. ὡς δὲ πρὸς λακεδαι-
μονίους παρεγένετο οἱ πρέσβεις οὕτω ἐν ἀ-
ποδεδειγμένῳ τόπῳ ἐτύγχανον συνεδρεύον-
τες, πάντας ὑπαναστῆναι λέγεται· καὶ εἰς ἕ-
δραν παρειληφέναι τὸν γέροντα· ἐφ᾽ οἷς κρότου
συχνοῦ παρὰ παντὸς γενομένου τοῦ συνεδρίου,
φάναι τινὰ αὐτῶν ὡς ἀθηναῖοι ἐπίστανται
μὲν τὰ ὀρθῶς ἔχοντα, ποιεῖν δὲ ἥκιστα αἱ-
ροῦνται. καὶ τῶν ἡμετέρων δὲ συλλόγων πολ-
λὰ μὲν τῶν ἀξιολογωτάτων ἐστὶν ἰδεῖν, τοῦ-
το δὲ εἰς τὰ πρῶτα οὗ περὶ ὁ λόγος· ὡς γὰρ ἂν
ἕκαστος ἡλικίᾳ προέχῃ, οὕτω καὶ τὸ περὶ
τὰς γνώμας σύγκριται κράτος οὐδὲ μόνον
τῶν ἄλλων ἐπὶ τιμῇ προεχόντων. ἀλλὰ
καὶ τῶν ἐν ἡγεμονίᾳ ὄντων, οἱ πρεσβύτεροι

τῶν οἰωνοσκόπων προάγονται. τίνος
δὴ σώματος ἡδοναὶ ἄξιαι προβάλλεσθαι
τοῖς τοῦ ἀξιώματος γέρουσιν; οἷς οἱ διαφα-
νῶς χρησάμενοι, τὸ τοῦ βίου μῦθον ἐμοὶ
δοκοῦσιν δικνυκέναι, ἀλλ' οὐχὶ κατὰ
τοὺς ἀνευσκήτους τῶν ὑποκριτῶν ἐν ἐσχάτῳ,
τοῦ τοῦ δράματος καταπεπτωκέναι.
Ν ἡ διὰ τ' ἄλλ' ἔτι τινὲς δυσάρεστοι· καὶ ἐπίχολοι ἀντίθεσις
καὶ δύσκολοι· καὶ ὀργίλοι· ἢ δυσξύμβολοι·
καὶ ἀπροσήγοροι γέροντες, ἢν δὲ πολυπραγ-
μονῶμεν, καὶ φαῦλοι. Ἀλλὰ ταῦτα λύσις.
οὐ γήρως· ἀλλ' ἤθους κακίαι ἐστίν, καί τοι
καὶ τὸ δύστροπον αὐτὸ καὶ ὀργὴ ἔφυν
ἔχοντα ἀπολογία τινὰ φαίνεται· οὐ μέντοι κε-
κινηκέναι δικαίαν ἀλλ' ἢ ἂν δυνατῆς δο-
κιμάσαι πως δόξειε, καταφρονεῖσθαι γὰρ
οἴονται, προορᾶσθαι, ἐμπαίζεσθαι· πρὸς γὰρ
καὶ εἰς ἀσθενὲς σῶμα μικρὸν τοῖς προσκρούσμασι
ἀπανέστιν, ὅμως μὴν ταῦτα πάντα ἢ δι' ἠθῶν
εὐτροπίαν καὶ δι' ἐπιστημῶν μάθησιν. πέ-
φυκε γίνεσθαι ἡδίω τοῦ τοδ' ἐστὶ καταμαθεῖν,
τῇ μὲν ἐπάνοδον τοῦ βίου, τῇ δ' ἐπὶ τῆς σκη-
νῆς ἐξ αὐτῶν τῶν ἐν τῇ κωμῳδίᾳ ἀδελφῶν
ὅσῳ μὲν γὰρ ἐν τῷ σκληρότης, ὅσῳ δ' ἐν τῷ
φιλοφροσύνη, οὕτω· καὶ γὰρ ἔχει, κατὰ πᾶς

οὐ πᾶς οἶνος, οὕτως οὐδὲ πᾶς βίος ὀξίνει
παλαιωθείς. αὐστηρότητα μὲν οὖν ἀποδέ-
χομαι γήρως, καὶ ταύτην ὥσπερ καὶ τἄλλα
μετρίαν. στρυφνότητα δὲ οὐδ᾽ ὅπως. τί οὖν φει-
δωλία δὲ γεροντικὴ ὅ τι βούλοιτο οὐ μαν-
θάνω. τί γὰρ ἀτοπώτερον, τοῦ ταύτῃ πλείω
ζητεῖν ἐφόδια, ᾗ ἐλάττων ὁδὸς καταλείπεται.

τέταρτον. Λοιπὴ δὲ τετάρτη τῶν αἰτιῶν, ἣ μάλιστα περι-
λυποῦντε δοκεῖ καὶ πολυμήχανον ἐστὶ τὴν
ἡμετέραν ἡλικίαν, ἡ τοῦ θανάτου γειτνίασις,
οὗ γε ὡς ἀληθῶς πόρρω που γήρως εἶναι οὐκ
ὦ ἐγχωρεῖ, ἀλλ᾽ ὁ γέρων τις κακοδαίμων, ὃς
διὰ οὕτω βίου μακροῦ καταφρονητέον ὄντα
οὐκ ἴδοι τὸν θάνατον, ὃς ἤτοι καθάπαξ ὀλι-
γωρητέος, εἰ παντελῶς τὴν ψυχὴν ἀπο-
σβεννύοι, ἢ καὶ εὐκταῖος, εἴ ποι αὐτὴν
ἀπάγοι ἢ μέλλει εἶναι αΐδιος, καὶ τρίτον,
οὐδὲν ὡς ἀληθῶς οἷόν τε εὑρεῖν. τί οὖν δέδιω,
εἰ μετὰ θάνατον ἢ οὐκ ἄθλιος ἢ μακάριος
ἔσομαι. καίτοι τίς οὕτως εὐήθης κἂν νε-
ανίσκος ᾖ, ὃς βεβαίως οἴοιτο ζήσεσθαι ἄχρι
ἑσπέρας, καὶ μὴν γε αὕτη ἡ ἡλικία πολὺ
πλείονας τῆς ἡμετέρας συντυχίας ἔχει θανάτου.
ἁλίσκονται γὰρ περιπετέστεροι νόσοις οἱ νέοι, χαλε-
πώτερον ἀσθενοῦσι. διὸ χαλεπώτερον θερα-

τεύονται. ὅθεν δὴ καὶ πάνυ ὀλίγοι ἀφικνοῦσιν
ἐπὶ γῆρας. ὅπερ εἰ μὴ ταύτῃ συνέβαινε, βελ-
τιόνως ἂν εἶχε καὶ φρονιμωτέρως ὁ βίος.
νοῦς γὰρ καὶ λόγος καὶ εὐβουλία γέρουσιν
ἔνεστιν. ὧν εἰ μὴ ἦσαν, οὐδὲ πόλεις ἂν τὸ
παράπαν ἦσαν. ἀλλ' ἴδε τοῦ ἐπηρτημένου
αὐτοῦ ἐπάνω θανάτου, τί γὰρ ἔγκλημα
γήρως ἐκεῖνο, ὅτε κοινὸν πρὸς νεότητα αὐτὸν
ὁρᾶτε. ᾐσθόμην ἔγωγε τὰ μὲν, ἐπὶ τοῦ
ἐμοῦ βελτίστου υἱοῦ. τὰ δ' ἐπὶ τῶν ἀξίαν
ὑψηλοτάτην προσδοκίμων σῶν ἀδελφῶν
ὦ Σκιπίων κοινὸν ὄντα ἡλικίᾳ πάσῃ,
τὸν θάνατον. ἀλλ' ὅ γε νεανίσκος ἐλπί- ἀντίθεσις.
ζει βιώσειν ἐπὶ πολύ, ὅπερ ὁ γέρων ἐλπίσαι
κατὰ ταὐτὰ οὐκ ἂν ἔχοι. ἀνοήτως μὲν λύσις.
οὖν ἐλπίζει. τί γὰρ εὐηθέστερον τοῦ ἄδηλα
ἀντὶ πρὸ δήλων λαμβάνειν. καὶ ψευδῆ
ἀντὶ ἀληθῶν. οὐ μὴν ἀλλ' οὐδ' ὅτι δὴ ἢ
ἐλπίζειν ἔχοι ὁ γέρων, ἀλλ' ἔστι κἂν τοῦθ',
ἐν καταστάσει βελτίονι νεανίσκου, εἴγ'
ὃς ἤδη τετύχηκεν. ὧν ἐκεῖνος ἔτι ἐλπί-
ζει. ὁ μὲν γὰρ ἐπὶ πολὺ βούλεται ζῆσαι, ὁ δὲ
ἐπὶ πολὺ ἔζησε, καίτοι ὦ θεοὶ πανάγαθοι
ἐν ἀνθρώπου ζωῇ, τί ἂν ᾖ ἐπὶ πολύ. δώσεις
γὰρ τελευταῖον που χρόνον, ποῖ εἰς τὴν

βασιλέα τοῦ Ταρτησσίων ζωὴν ἀποβλέψωμεν
ἐμέ γε γὰρ ὡς ἐστὶν ἀναγεγραμμένον ἰδοῦ,
ἀργανθώνιός τις γαδειτανὸς, ὃς ὀγδοήκοντα
μὲν ἐβασίλευσεν ἔτη, εἴκοσι δὲ καὶ ἑκατὸν
ἐβίωσεν. ἀλλ' ἐμοὶ οὐ χρόνιον δοκεῖ οὐδὲ
ἕν, ἐν ᾧ τί ἐστι τελευταῖον, ἐπειδὰν γὰρ αὐτὸ
παραγένηται, ἐκεῖνο τὸ παρεληλυθὸς ἐξερρύη.
καὶ τοσοῦτον δὴ παραμένει μόνον, ὁπόσον ἀρετῇ
καὶ ἔργοις ὀρθοῖς περιεποιήσω. ὧραι μὲν γὰρ
ἀπεκχωροῦσιν καὶ ἡμέραι. καὶ μῆνες καὶ
ἐνιαυτοί. οὐδ' ὁ παρεληλυθώς ποτε ἀναστρέφει
χρόνος, οὐδ' ὅτι ἔπειται δυνατὸν εἰδέναι, ὁ-
πόσος οὖν ἑκάστῳ πρὸς ζωὴν δίδοται χρόνος,
στέργειν ἐπὶ τοσούτῳ χρεών. οὔτε γὰρ ἀπο-
κρίτῃ ἀπεργαστέος ἅπας ὁ μῦθος ὅπως ἀ-
ρέσῃ, ἀλλὰ μόνον ἐν ὅτῳ τις ἂν δράματι εὐ-
δοκιμήσειεν, οὔτε σοφῷ ἄχρι τοῦ κροτεῖτε
ἰτέον. βραχὺς γὰρ βίου χρόνος, ἅλις ἔχει ἱκα-
νὸς πρὸς τὸ εὖ καὶ καλῶς βιοτεύειν, εἰ δὲ
καὶ πορρωτέρω χωρήσαις, οὐδὲν μᾶλλον
τῶν γεωργῶν ἀνιᾶσθαι χρὴ, ἐφ' ᾧ τοῦ
ἡδίστου τῆς ἐαρινῆς παρεληλυθότος ὥρας θέρος
καὶ φθινόπωρον ἐφεστηκέναι. τὸ μὲν γὰρ
ἔαρ τοῦ νεανίσκου οἷον σημαίνει καὶ καρποὺς
μέλλοντας ἐπιδείκνυσιν. αἱ λοιπαὶ δ' ὧραι

τῷ τῶν καρπῶν ἀκμητῷ καὶ τῇ κομιδῇ
συνηδόνται. καρπὸς δὲ γήρως ὡς πολλάκις
ἔφθην εἰπὼν, ἡ τῶν πρόσθεν ἀγαθῶν πλεο-
νεκτημάτων μνήμη καὶ εὐπορεία. πάντα
δὲ τὰ κατὰ φύσιν γιγνόμενα, θετέον ἐν
ἀγαθοῖς. τί δ᾽ οὕτω κατὰ φύσιν ὡς γηραιοῖς
τὸ τεθνάναι. ὃ δὴ καὶ νέοις συμβαίνει ταυτὸ
ἐναντιουμένης τε καὶ ἀμυνομένης τῆς φύσεως.
διὸ καὶ νέοι μὲν ἀποθνήσκειν ἐμοὶ δοκοῦ-
σιν καθάπερ ὅταν πλησμονῇ ὕδατος φλογὸς
καὶ πιέζηται δύναμις. γέροντες δὲ ὥσπερ ὅτε πῦρ
ἀφ᾽ ἑαυτοῦ μηδεμιᾶς βίας ἐπενεχθείσης
ἀναλωθὲν ἀποσβέννυται, καὶ ὥσπερ ὀπῶραι
ἣν μὲν ἄωροι τυγχάνωσιν οὖσαι βίᾳ κατα-
πῶνται τῶν δένδρων, ἐὰν δ᾽ ὡραῖαι καὶ πέπωνες
αὐτομάτως καταπίπτουσιν, ὧδε καὶ νέων μὲν
τὸ ζῆν ἀφαιρεῖται βίᾳ. γερόντων δὲ πέπανσις
ὡραία. ἥδη οὕτως ἔμοιγε προσηνής ἐστιν,
ὥσθ᾽ ὅσῳ ἐγγύτερος γίγνομαι τοῦ θανάτου, γῆν
ὥσπερ ὁρᾶν μοι δοκῶ καί ποτε μέλλειν ἐκ μα-
κροῦ πλοῦ εἰς λιμένα καταίρειν, καὶ πᾶσι
μὲν τῶν ἄλλων ἡλικιῶν. ἀποδέδεικται
προθεσμία, γήρως δὲ οὐδεὶς ὥρισται ὅρος.
ὀρθῶς τε ἔχειν τὸ ζῆν ἐν αὐτῷ, ἐφ᾽ ὅσον ἄν τις
κατορθοῖ τὴν καθήκοντος λειτουργίαν καὶ

φυλάττειν οἷός τε ᾖ καὶ μέντοι θανάτου καταφρονεῖν.
ὥστε καὶ κινδυνεύει θαρραλεώτερόν τε καὶ
ἀνδρειότερον νεότητος εἶναι τὸ γῆρας, καὶ
τοῦτ' ἐστὶν οἶμαι, ὃ πεισιστράτῳ τῷ τυράννῳ
ἀπεκρίνατο Σόλων ὅτ' ἐρωτῶντι αὐτῷ τίνι
δήποτε πεποιθὼς ἐλπίδι εὐτολμεῖ οὕτως οἱ ἐνί-
στασθαι, γήρᾳ ἔφη. πέρας γε μὴν ἄριστον βίου,
ὅταν ἀκεραίου ἔτι ὄντος τοῦ νοῦ καὶ ὑγιαινου-
σῶν τῶν αἰσθήσεων, τὸ οἰκεῖον ἔργον αὐτὴ
διαλύσῃ ἥτις καὶ συνέστησε φύσις. ὥσπερ γὰρ
ναῦν τε καὶ οἰκοδόμημα, ὁ αὐτὸς ῥᾷστα κα-
ταλύει ὅστις καὶ κατεσκεύασεν οὕτως ἄρα
καὶ ἄνθρωπον ἄριστα ἡ αὐτὴ διαλύει ἥτις καὶ συνέ-
στησε φύσις. ἤδη δὲ πᾶσα σύστασις πρόσφατος
μὲν σὺν χαλεπῶς διασπᾶται. παλαιωθεῖσα
δέ τοι πάνυ ῥᾳδίως. οὕτω, οὕτω δὴ συμ-
βαίνει μήτ' ἄγαν ὀρέγεσθαι χρῆναι τοὺς γέροντας
αὐτοῦ τοῦ ἐπὶ βραχύ τι τῆς ζωῆς ὑπολειπο-
μένου, μήτ' αὖ μεθίεσθαι ἄνευ αἰτίας, ἐπεὶ
καὶ πυθαγόρας κωλύει προστάγματος ἄνευ
τοῦ αὐτοκράτορος, τοῦ θεοῦ δηλονότι, ἐκ
τῆς φρουρᾶς ἀναχωρεῖν καὶ τῆς περὶ τὸ ζῆν
φυλακῆς. Σόλωνος δέ γε τοῦ σοφοῦ ἐλε-
γεῖον ἐστὶν ᾧ τὸν αὐτοῦ θάνατον οὔ φησι βού-
λεσθαι καθαρὸν λύπης εἶναι καὶ ὀλοφυρμῶν

τῶν ἐπιτηδείων. πολλοῦ γὰρ ὁ δεῖ μᾶλλον τοῖς
ἑαυτοῦ εἶναι ἐθέλει, ἀλλ' ἴσως ἔννιος ἀ-
μένου. οὔτις κύδαιν' ἡμᾶς τέγγε δακρύοις φησὶ,
οὐδὲ τάφου μοιρηθήσει λιγυρῶν ἐπὶ γοναχῆς,
οὐ γὰρ οἴεται θρηνητέον τὸν θάνατον, ὡς ἀθα-
νασίας παρέπεται. ἤδη δι' αἰσθήσεις μὲν τοῦ
ἀποθνήσκειν ἔστι καὶ ἔνι, ἐπὶ χρόνου ἤγε
ἀθρανοῦ διάρκης, ἀλλ' ὥστε καὶ γοῦν τι. μετὰ
θανάτου δὲ, ἤτοι εὐκταία, ἢ οὐδεμία ἐ-
στὶν αἴσθησις. ἀλλὰ γὰρ ἐκ νέου δεῖ ἔχειν
μεμελετημένος θανάτου καταφρονεῖν. ὡς ἄ-
νευ ταύτης τῆς μελέτης οὐκ ἔνον τῷ ἔχειν
τὴν ψυχὴν ἀθορύβως. ἀποθανεῖν γὰρ τοι ὡς
ἀληθῶς δεῖ. καὶ τοῦτο ἄδηλον, εἰ ἐν αὐτῇ ταύτῃ
γε τῇ ἡμέρᾳ. τὸν οὖν ὅσαι ὧραι ἐπηρτημένου
θάνατον δεδιὼς, τίς ἂν ἀτρεμίζειν τὴν ψυχὴν
οἷος τ' εἴη; τούτου γε μὴν περὶ οὐ πολλῆς τι
διαλέξεως ἔοικε δεῖν. ὁπότε καὶ ἔχω ἐν
νῷ, οὐ λεύκιον βροῦτον ὃς ἐπ' ἐλευθερίᾳ
τῆς πατρίδος ἀνῄρηται. οὐ τοὺς δύο δεκίους
οἳ πρὸς αὐθαίρετον μόρον τοὺς ἵππους
ἐξέτειναν δρόμῳ, οὐ μάρκον ἀτίλιον ὃς
ἐπὶ τιμωρίαν ἀπῆλθεν, ὅπως τὴν δοθεῖ-
σαν τοῖς πολεμίοις πίστιν ἔχῃ τετηρηκώς. οὐ
τοὺς δύο σκιπίωνας οἳ καὶ τοῖς σφετέροις

σώμασιν ἔφοδον τοῖς Λίβυσιν ἀντιτάξασθαι
ἠξιώκασιν. οὐ Λεύκιον Παῦλον πάππον
τὸν σὸν ὃς ἐς θάνατον παραπολέλαυκε τῆς
τοῦ συνάρχοντος ἐν τῇ περὶ Κάννας ἀτιμίας
θρασύτητος. οὐ Μάρκον Μαρκέλλον οὐ
ἀναιρεθέντα οὐδ᾽ ἀπηνέστατοί γε πολέμιοι
τιμῆς στερεῖσθαι ἐπιταφίου ἠνέσχετο· ἀλλ᾽
αὐτὰ τὰ ἡμέτερα τάγματα, ὃ δὴ καὶ τῆς ἀρ-
χαιολογίας ἀνέγραψας, ἐς τόπον τοιοῦτον
ἐφορμῶντα πολλάκις ἀκραιφνῆ καὶ ἀπτῶτι
ψυχῇ ὅθεν οὐδέποτ᾽ ἂν ἐδόκει ἐπανελθεῖν, οὐ
τοίνυν νεανίσκοι, καὶ οὗτοι μὴ ὅτι ἀδίδακτοι,
ἀλλὰ καὶ ἀγροῖκοι καταφρονοῦσι τοῦ ζῆν-
τες σοφοὶ καταπλήξουσι; παντάπασιν ὥσγε
ἐμοὶ δοκεῖ ὁ περὶ ἑκάστου σπουδὴν ἕτερος, ὁ
βίον ἐναπεργάζεται κόρον. εἰσὶ μὲν γὰρ τοῖς παι-
δὸς ἀποδεδειγμέναι σπουδαί. μὴ γὰρ ταύτας
ἐπιποθεῖ τῆς μειρακίας; εἰσὶ δ᾽ αὖ καὶ μειρακίων
ἄλλαι τινές, κἂν ταύταις ἤδη σταθερᾶς ἡλι-
κίας μᾶλλον ἡ μέση καλεῖται; εἰσὶ δὲ καὶ τῆσ-
δε τῆς ἡλικίας, ἀλλ᾽ οὐδ᾽ αὐταί γε ὑπὸ γήρως
ἐπιζητοῦνται. εἰσὶ δὲ καὶ γήρως σπουδαί τινες
τελευταῖαι. οἷον ὥσπερ αἱ τῶν ἀνωτέρω
ἡλικιῶν αἱ σπουδαὶ λήγουσιν ἀεί· οὕτω καὶ
αἱ τοῦ γήρως. οὐ δὴ παραγενομένου τοῦ τοῦ

βίου πόρος, καιρὸν τῷ θανάτῳ ἐπαγγέλλουσι -
Ἐμέ γε οὐχ ὁρῶ, τί ποτε λέγειν οὐ τολμῶ
πρὸς ὑμᾶς, ἅττα αὐτὸς φρονῶ περὶ τοῦ θανά-
του· ἅπερ ταύτῃ που βέλτιον ἀθρεῖν μοι δο-
κῶ· ᾗ δὴ ὅσον πόρρω τούτου ἀφέστηκα. Ἐγὼ
γὰρ τοὺς πατέρας ὑμῶν, ὦ Πόπλιε Σκιπίων,
καὶ Γάιε Λαίλιε, τοὺς ἐνδοξοτάτους ἐκείνους
καὶ προσφιλεστάτους μοι ἄνδρας, ζῆν ἡγοῦ-
μαι, καὶ ταύτην γε τὴν ζωὴν ἣν μόνον χρὴ ζω-
ὴν ὀνομάζειν. καὶ γὰρ ἕως ἂν ὦμεν ἐγκατα-
κεκλεισμένοι ταῖς ἁρμολογίαις ταῖσδε τοῦ
σώματος, λειτουργίαν τινὰ ἀνάγκης καὶ
ἔργον ἀνύομεν ἐπαχθές. ἡ γάρ τοι ψυχὴ οὐρα-
νιός ἐστιν· ἐξ ὑπερκοσμίου οἰκήματος ἐκ-
πεπιεσμένη· καὶ εἰς γῆν ὥσπερ βεβαπτισμέ-
νη· τόπον, φύσει θείᾳ καὶ ἀϊδιότητι ἐναν-
τίον. ἀλλὰ γὰρ πείθομαι τοὺς ἀθανάτους θεοὺς
σχεδάσαι δὴ τὰς ψυχὰς εἰς τὰ ἀνθρώπινα
σώματα· ἵν' εἶεν οἱ ταύτῃ τῶν ἐπιγείων ἐπι-
μελοῖντο· καὶ οἱ τὴν τῶν οὐρανίων διάταξιν θε-
ωροῦντες, μέτρῳ τε βίου εὐσταθείᾳ ταύτην
ἀπομιμοῖντο, καὶ ταῦτα οὐ μόνον λόγος τε
καὶ διάλεξις οὕτως ἔχειν πείθεσθαι ἀναγκάζει,
ἀλλὰ καὶ τῶν ἄκρων δὴ φιλοσόφων τὸ εὐγε-
νές τε καὶ ἔνδοξον. ἤκουον γὰρ Πυθαγόραν

τε καὶ πυθαγορείους τοὺς ἡμετέρους σχεδόν-
τι ἐπιχωρίους οἵ τε πάλαι ἰταλικοὶ ἐκα-
λοῦντο φιλόσοφοι μηδέποτ' ἀμφισβη-
τῆσαι, ὡς οὐκ ἐκ τοῦ καθόλου θεοῦ νοῦ ἀ-
πορρυείσας ἔχοιμεν τὰς ψυχάς, ἀπεδεί-
κνυντο δέ μοι πρὸς τούτοις καὶ ἅττα σωκρά-
της τῇ τελευταίᾳ τοῦ βίου ἡμέρᾳ ἀθανα-
σίας πέρι ψυχῶν διελέχθη. ὃς χρησμῷ τ'
ἀπόλλωνος σοφώτατος κέκριται ἁπάντων.
ἀλλὰ τί δεῖ πολλὰ λέγειν· οὕτως ἔγωγε ἐ-
μαυτὸν πείθω καὶ ταύτῃ φρονῶ, ὅτι ἐπειδὴ
τάχος τοσοῦτον ἔνεστι ταῖς ψυχαῖς, καὶ το-
σαύτη μνήμη μὲν παρεληλυθότων. γνώ-
σις δὲ μελλόντων καὶ τοσαῦται τέχναι. το-
σαῦται ἐπιστῆμαι. τοσαῦτα εὑρήματα, οὐχ
οἷόν τε τὴν περιέχουσαν ταῦτα φύσιν εἶναι
θνητήν. καὶ ἐπειδὴ ψυχὴ κινεῖται ἀεί.
οὐδ' ἀρχὴν κινήσεως ἔχει, διὰ τὸ αὐτὴν ἑαυ-
τὴν κινεῖν, μηδέ γε τέλος κινήσεως ἕξειν διὰ
τὸ μηδέποτε αὐτὴν ἑαυτὴν καταλείψειν.
καὶ ἐπειδὴ ἡ τῆς ψυχῆς φύσις ἐστὶν ἁπλῆ,
οὐδὲ ἔχει τι ἐν ἑαυτῇ κεκραμένον διάφορον
αὐτῆς καὶ ἀνόμοιον, μὴ οἷόν τ' εἶναι αὐτὴν
διαιρεῖσθαι. ὅπερ εἰ μὴ δυνατόν, μηδ' ἀπόλ-
λυσθαι δυνατὸν εἶναι. τεκμήριόν τε μέγα

τοῦ τοὺς ἄλλους καὶ πρὶν γενέσθαι εἰδέναι πολ-
λά, ὅτι παῖδες ἔτι ὄντες, τέχνας μανθάνον-
τες διὰ ταχέων· οὕτω ταχὺ μυρία χρήματα
συναρπάζουσιν· ὥστε μηδὲ τότε αὐτὰ πρῶτον
ἀναλαμβάνοντες, ἀλλ' ἀναμιμνησκομένοι
καὶ ἀναλογιζόμενος φαίνεσθαι. καὶ ταῦτα
μὲν Πλάτωνος:— παρὰ Ξενοφῶντι δὲ Κῦ-
ρος ὁ πρεσβύτερος ἀποθνήσκων, ὧδε φη-
σί. μὴ οἴεσθε ἔφη ὦ φίλοι παῖδες ὡς οὐδὲ
οὐδαμοῦ ἐγὼ ἔσομαι, ἐπειδὰν ἀφ' ὑμῶν
τὴν ἐμὴν ψυχὴν ἑωρᾶτε. ἀλλ' οἷς διεπρατ-
τόμην, τούτοις αὐτὴν ὡς οὖσαν ἐν τῷ σώ-
ματι τούτῳ κατεφωρᾶτε, τὴν αὐτὴν τοί-
νυν πείθεσθαι εἶναι κἂν μηδὲν ἔτι ἔχητε
ὁρᾶν. οὐδὲ γὰρ ἂν τῶν ἐλλογίμων ἀνδρῶν
μετὰ θάνατον αἱ τιμαὶ διέμενον, εἰ μηδὲν
αὐτῶν αἱ ψυχαὶ ἀπετέλουν ὥστε τὴν μνήμην
αὐτῶν ἂν συντηρεῖν μὲν χρονιώτερον.
οὕτως ἔγωγε οὐδὲ πώποτε ἐπείσθην ὡς
ἡ ψυχὴ ἕως ἂν ἡ ἐν θνητῷ σώματι ζῇ.
ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκε. οὐδέ γε
ὅπως ἄφρων ἔσται ψυχὴ ἐπειδὰν τοῦ ἄ-
φρονος σώματος δίχα γένηται. ἀλλ' ὅταν
ἀκραιφνὴς ἐκκριθεὶς εἰλικρινής τε καὶ ἀ-
πέραιος ἄρχηται εἶναι, τότε φρονιμώτατος

ἐστι

θανάτῳ δὲ διαλυομένης τῆς τοῦ ἀνθρώπου
φύσεως, τῶν μὲν ἄλλων εὔδηλον ὅπου
ἕκαστα μεταλλάττει· ἄπεισι γὰρ ἐπὶ σε
πάντα ὅθεν προῆλθεν, ἡ ψυχὴ δὲ μόνη οὔ-
τε παροῦσα, οὔτε ἀπιοῦσα ὁρᾶται· ἐννο-
ήσατε δ' ὅτι ἐγγύτερον μὲν τῶν ἀνθρωπίνων
θανάτῳ οὐδέν ἐστιν ὕπνου· αἱ ψυχαὶ δὲ τότε
δήπου τῶν κοιμωμένων θειόταται κατα-
φαίνονται· πολλὰ γὰρ τῶν μελλόντων, ἀφει-
μέναι οὖσαι καὶ ἐλεύθεραι προορῶσιν· ὅθεν
ἐστὶν ἰδεῖν ὁποῖαί τινες ἔσονται, ἐπειδὰν
παντελῶς τῶν δεσμῶν ἀπολυθῶσι τοῦ
σώματος· εἰ μὲν οὖν ταῦθ' οὕτως ἔχει, ὡς θεὸν
ἐμὲ τιμᾶτε καὶ θεραπεύετε· εἰ δ' ἄρα συνα-
ποθνήσκει τῷ σώματι ἡ ψυχή, ἀλλ' ὑμεῖς γε
θεοὺς φοβούμενοι, οἳ τήνδε τὴν τῶν ὅλων
τάξιν καὶ ἁρμονίαν συγκρατοῦσιν ἀτριβῶς
καὶ ἀναμάρτητον, μνήμην ἡμῶν εὐσεβῶς τε
καὶ ἀνεκβιάστως φυλάξετε. Κῦρος μὲν
οὖν, τελευτῶν τὸν βίον, ἐκεῖνα· ἡμεῖς δὲ
ἤδη καὶ τὰ ἡμέτερα αὐτῶν θεωρῶμεν· οὐ-
δεὶς με οὐδέποτε πέπεικεν ὦ Σκιπίων, ὡς ἢ
πατήρ, ὁ σὸς πατὴρ, ἢ οἱ δύο πάπποι, Παῦλος καὶ
Ἀφρικανός, ἢ ὁ Ἀφρικανοῦ πατὴρ ἢ ὁ
πρὸς πατρὸς θεῖος, ἢ ἄλλοι πολλοὶ ἄριστοι

οἷς νῦν ἐξαριθμῆσαι ἀναγκαῖον οὐδὲν· τη-
λικαῦτα διηγωνίσαντο ἂν εἰς μνήμην
τῶν ἐν τῷ ἔπειτα ἀνθρώπων φέροντα, εἰ μὴ
εἶχον τῇ ψυχῇ διορᾶν τὰς τῶν μεταχειρι-
ζόντων εἰς σφᾶς γινόμενα αὐτοῖς· ἢ ἐμὲ οἴει
ἵνα τί καὶ περὶ ἐμαυτοῦ χρόνον τινὰ ἔτι ἂν
χήσομαι πόνοις ἂν τοσούτοις ἡμέρας τε καὶ
νύκτας οἴκοι τε καὶ ἐν στρατείαις ἀναπλῆ-
ναι, εἴπου τοῖς αὐτοῖς τὴν ἐμαυτοῦ εὔκλειαν,
οἷς καὶ τὸν βίον ἔμελλον ὁρίζειν. Ἆρ' οὐκ ἀντίθεσις
ἂν πολὺ κάλλιον ἦν, βίον σχολαῖόν τε καὶ
ἡσύχιον, πραγμάτων χωρὶς καὶ φιλονει-
κίας διάγειν. Ἢ οὐκ οἶδας ἅπως ἡ ψυ- λύσις
χὴ ἑαυτὸν ἀνορθοῦσα τὰ τῶν ἰσχυόντων
ἂν προέχει, ὥστε εἰ τότε μέλλουσα ζῆν,
ὅταν ἀπαλλαγῇ τῆς ἐνθάδε ζωῆς· καὶ μὴν
δὴ εἰ μὴ οὕτως ἔχειν, ἀθανάτους δηλαδὴ
τὰς ψυχὰς εἶναι σχολῇ γ' ἂν τῶν βελτίστων
ἑκάστου ψυχὴ μάλιστα ἡ πράττετο πρὸς δό-
ξαν ἀθανασίαν ἀγήρων, τί δὲ πῶς μὴν
σοφώτατος, ἀταλαιπώρῳ ψυχῇ τελευτᾷ
τὸν βίον, ἀβελτερώτατος δὲ ταλαιπω-
ροτάτῃ; ἆρ' οὐχὶ καὶ ἡμῖν δοκεῖ, ὡς ἐκεί-
νη μὲν ἡ ψυχὴ ἡ πλεόν τι διορῶσα καὶ πορ-
ρωτέρω εἰς ἀμείνω λῆξιν ἑαυτὴν ἀπιοῦ-

σαν ὁρῶν, αὐτὴ δὲ εἰς τὸ ὄμμα ἀμβλύ-
τερον οὐδὲν ἔχοι ὁρᾶν. Ἔγωγε οὖν ἐκ-
φέρομαι τούτου, τοῦ τοὺς ἡμετέρους βιάζεσ-
θαι, οὓς στέργων τε καὶ θεραπεύων διὰ-
τετέλεκα. οὐ δ᾽ ἄρα τούτους μόνους ἔχω εὑ-
ρεῖν οὓς πρὶν ἐγνώκειν, ἀλλὰ καὶ ὧν πρὶν ἤκου-
σα καὶ ἀνέγνων. καὶ αὐτὸς τυγχάνω συγ-
γραφεύς. οἷ δὴ προχωροῦντα με, οὐδεὶς
ἂν οἶμαι εὐχερῶς ἀποβλέψειεν, οὐδ᾽ ὥσπερ
σφαῖραν αὐτὴν ὅταν ἀποσφαιρίσῃ, κἄν τις
θεῶν μοι δωρῆται ἐκ τῆσδε τῆς ἡλικίας ἀ-
νανηπιοῦσθαι, καὶ πάλιν ἐν κοιτίδι βαβά-
ζειν ἐν σπαργάνοις σφόδρα ἂν παραιτοίμην,
δόλιχον οἷον τινὰ ἐκδραμὼν, ἐκ τοῦ τέρμα-
τος αὖ ἐπὶ τὴν βαλβίδα μετακαλεῖσθαι.
τί γὰρ λυσιτελὲς ἔχει ὁ βίος. τί δ᾽ οὐ μᾶλλον,
ἐπίπονον. ἔστω δὲ μὴ, καὶ ἐχέτω τι. ἀλλ᾽ ἔχει
δήπου καὶ ἤτε κόρον ἢ τέρμα. δεῖ κα-
λεῖν, οὐ γάρ τοι φίλον ἐμοὶ ὀλοφύρεσθαι τὸν
βίον ὃ πολλοὶ διὰ τὴν ἀπαιδευσίαν πολλάκις
φαίνονται δεδρακότες. οὐδέ τις μετὰ τοῦ
ζῆσαι ἔχω μεταμέλεος, ἐπειδὴ οὕτως ἔ-
ζησα. ὥστε μὴ μάτην οἴεσθαι γεγενῆσθαι,
κἀκ τῆς ζωῆς ὡς ἐκ πανδοχείου, καὶ οὐχ ὡς
ἐξ οἴκου ἀναχωρῶ. διατριβῆς γὰρ καταγω-

γιον ἀλλ' οὐ κατοικεῖν ἡ φύσις ἡμῶν ἐδεδώ-
κει. ὦ τοίνυν λαμπροτάτης ἡμέρας ἣν ἐγὼ
πρὸς τὴν θείαν τῶν ψυχῶν ὁμήγυριν καὶ
τὸν ὅμιλον ἄπειμι. ὅτε ἐκ τῆς ἐνθάδε τύρ-
βης καὶ τοῦ κλύδωνός ποτε ἀπαλλάξω. πορεύ-
σομαι γὰρ οὐ μόνον πρὸς ἄνδρας οἷς ἄρτι
ἔφην. ἀλλὰ καὶ ὡς Κάτωνα τὸν ἐμὸν οὗ
ἀνὴρ βελτίων ἐγένετο οὐδὲ εἷς, οὐδεὶς δια-
φορώτερος τὴν εὐσέβειαν. οὗ τὸ μὲν σῶμα ἐμ-
βέβληται ὑπ' ἐμοῦ τῇ πυρᾷ, δέον τοὐναν-
τίον ὑπ' ἐκείνου τοὐμόν. ἡ ψυχὴ δὲ οὐκ ἔσ-
τι καταλιποῦσά με, ἀλλ' ἐντροπαλιζομένη
πως ὡς ἐκεῖνον οἴχεται ἀπιοῦσα εἰς τὸν χῶρον,
οἷ ἐμοὶ πορευτέα εἶναι, κἀκεῖνος ἐγίνωσκεν
ἣν δὴ ἐγὼ συμφορὰν γενναίως πως ἔδοξα
ἐνεγκεῖν, οὐχ ὡς φέρων ἀλύπως, ἀλλὰ παρα-
μυθούμενος ἐμαυτόν, ὡς μὴ μακράν τινα
οἰόμενος τὴν καθ' ἡμᾶς διάζευξίν τε καὶ
ἀποχώρησιν ἔσεσθαι. τούτοις ἐμοί ὦ σκι-
πίων τοῦτο γὰρ εἰωθέναι ἔφησθα θαυμάζειν
μετὰ λαιλίου, ἀνεπαχθὲς τὸ γῆρας ἐστί,
καὶ οὐχ ὅπως τι χαλεπόν. ἀλλὰ καὶ ἡδύ. ὥσ-
τε εἰ ταύτῃ που ἁμαρτάνω ᾗ τὰς τῶν ἀνθρώπων
ψυχὰς ἀθανάτους πείθομαι εἶναι ἄσμενος
ἁμαρτάνω. οὐδέ τινι διαιροῦμαι τὸ ἁμάρ-

τιμᾷς, ὃ χαίρω δὴ ἁμαρτάνων τοῦτο, ἕως
ἂν ζῶ ἐξαιρεθῆναι ἀπ' ἐμαυτοῦ· εἰ γε μετὰ
θάνατον ὥς τινες πολλοὶ φιλόσοφοι οἴ-
ονται οὐδενὸς ἐπαισθήσομαι ἔτι, δέος
γὰρ οὐδὲν οὕτω μὴ τοῦ ἐμοῦ τουτονὶ πλά-
νου, οἱ τοιοῦτοι φιλόσοφοι ἀποθανόντες
καταγελῶσιν. ὥστ' εἰ μὴ καὶ ἀθάνατοι
εἶναι μέλλομεν, ἀλλ' οὖν ἄνω εὐκταῖον
καταβέννυσθαι ἐν οἰκείῳ καιρῷ. ἔχει
γὰρ μέτρον ἡ φύσις ὥσπερ τῶν ἄλλων ἁ-
πάντων, οὕτω τοι καὶ ζωῆς. γῆρας δὲ βίου
ἐστὶ καθάπερ μύθου ἀπεργασία. οὗ δὴ τὸν
κάματον φεύγειν χρεών. ἄλλως τε καὶ
κόρου προσγενομένου:— Ταῦτα περὶ
γήρως εἶχον εἰπεῖν, ἐς ὃ δὴ καὶ ὑμᾶς γένοιτο
ἀφικέσθαι. ἵνα περ ἐμοῦ ἀκηκόατε, δυνη-
θῆτε ἐπαινέσαι, πείρᾳ εἰληφότες τοῦ
πράγματος:—

τέλος τοῦ περὶ γήρως
τοῦ Κικέ-
ρω
νο
ς.

1